# ACTA CONCILIORVM OECVMENICORVM

IVSSV ATQVE MANDATO

SOCIETATIS SCIENTIARVM ARGENTORATENSIS

EDIDIT

EDVARDVS SCHWARTZ

TOMVS PRIMVS

VOLVMEN PRIMVM

PARS TERTIA

MDCCCCXXVII

WALTER DE GRUYTER & CO.

VORMALS G. J. GÖSCHEN'SCHE VERLAGSHANDLUNG / J. GUTTENTAG, VERLAGS-BUCHHANDLUNG / GEORG REIMER / KARL J. TRÜBNER / VEIT & COMP.

BEROLINI ET LIPSIAE

# CONCILIVM VNIVERSALE EPHESENVM

EDIDIT

EDVARDVS SCHWARTZ

VOLVMEN PRIMVM

ACTA GRAECA

PARS TERTIA

COLLECTIO VATICANA 81—119

MDCCCCXXVII

WALTER DE GRUYTER & CO.

VORMALS G. J. GÖSCHEN'SCHE VERLAGSHANDLUNG / J. GUTTENTAG, VERLAGS-BUCHHANDLUNG / GEORG REIMER / KARL J. TRÜBNER / VEIT & COMP.

BEROLINI ET LIPSIAE

# PRAEFATIO

Quoniam de collectionum origine et compositione agere non placuit nisi postquam parte quarta edita primaria certe Collectionis Vaticanae pars lectorum iudicio atque usui parata erit, de codicibus autem in partis primae praefatione disserui, hic non praefandum est nisi de canonum codicibus Graecis quos ad recensendam epistulam generaliter a concilio Cyrillianorum emissam [V 91] praeter gestorum codices adhibui.

Synodi Ephesenae tales canones in unum redacti numerisque distincti quales emiserunt synodi Nicaena Serdicensis Constantinopolitana Chalcedonensis, non extant in gestis neque extitere umquam. postea tamen canonum Ephesenorum compilatum est corpusculum quoddam, cuius tres formae mihi notae sunt. in tabula canonum quae praemissa est Iohannis Scholastici synagogae L titulorum [cf. Wladimiri Beneševič librum Rossicum de hac synagoga Petropoli c. 1914 publicatum p. 218] legitur τῶν ἐν Ἐφέσωι συνελθόντων πατέρων, ὑφ' ὧν ἐξετέθησαν κανόνες ζ̄; in ipsis titulis, si recte intellexi quae in libro laudato p. 224 sq. de distributione canonum inter singulos titulos ex codicibus enotata sunt, adferuntur ep. V 91, 2—7, decretum synodale A 77, epistula synodalis quae claudit A 81. Latina translatio quae extat in Collectione canonum Dionysiana quam F. Maassen appellauit Bobbiensem propter codicem eius primarium Ambros. S 33 sup., tmemata V 91, 2—6 numerat pro canonibus I—V, decretum synodi A 77 pro canone VI, in fine addendo: *item in supra scripto VI canone similiter et si qui uelint* etc. [= V 91, 7], epistulam quae claudit A 81, pro canone VII, denique repetit translationem V 91, 7 sub numero *VIII*. tertia forma recepta est in collectionem canonum, quae titulorum dicitur XIIII, Iohanne Scholastico recentiorem et usque ad Photium per uarias recensiones propagatam: hic V 91, 2—7 canones factae sunt I—VI, decretum synodi A 77 canon VII, epistula synodalis quae claudit A 81, canon VIII, denique epistula synodalis A 83 sine numero adiecta est. Wladimiri Beneševič libro doctissime de hac collectione conscript odebeo quod aliquot codices diuersarum recensionum seligere potui quorum uariam lectionem in apparatu enotarem, ut aliqua certe imago illius collectionis repraesentaretur. non id egi ut omnes recensiones quascunque Beneševič enumerat, adhiberem; ex nomocanonis redactionis primae, ut illius nominibus utar, codicibus selegi sex qui sunt recensionis Photio prototypae, Palatinum 376, Parisinum 1334, Vaticanos 2060 et 2184, Parisinos suppl. 614 et 1085 atque unum recensionis propriae, Laudianum 39, ex syntagmate I redactionis Patmenses 172 et 173, quarum lectiones desumpsi ex textu graeco, quem idem uir editioni syntagmatis XIIII titulorum slauonici adiecit, ex syntagmate II redactionis Vallicellianum F 10 et Vaticanum 827, ex nomocanone II redactionis Vaticanum 1980, denique Baroccianum 26. de quibus recensionibus si quis plura scire uoluerit, ipsum illum librum adeat, unde ego eas desumpsi. codices omnes sunt ss. X et XI, saepe uitiis orthographicis plenissimi, quae omisi omnia.

Monachii m. Maio a. h. s. XXVII

**E. Schwartz**

# COLLECTIO VATICANA

81–119

V = Collectio Vaticana
Codex Vaticanus 830 s. XV

Collectionis Vaticanae recensio brevior

M = Codex Ambrosianus M 88 sup. s. XII

P { h = Codex Parisinus 416 s. XVI
k = Codex Monacensis 43 s. XVI

S = Collectio Seguierana
Codex Parisinus Coislinianus 32 s. XI

D = Collectionis Seguieranae recensio altera
m = Codex Monacensis 115 s. XVI
n = Codex Monacensis [Fuggeranus] 116 s. XVI

A = Collectio Atheniensis
Codex Atheniensis societatis archaeologicae Christianae 9 s. XII

W = Codex Vindobonensis theol. gr. 40 s. XII

R = Codex Vaticanus 1431 s. XI

U = Codex Vallicellianus C 4 s. XIIII

J = Codex Vallicellianus F 22 s. XV

K = Codices canonum

a = Codex Palatinus 376

b = Codex Parisinus 1334

c = Codex Vaticanus 2060

d = Codex Vaticanus 2184

e = Codex Parisinus suppl. 614

f = Codex Parisinus suppl. 1085

l = Codex Oxoniensis Laudianus 39

p = Codex Patmensis 172

q = Codex Patmensis 173

r = Codex Vallicellianus F 10

t = Codex Vaticanus 827

u = Codex Vaticanus 1980

y = Codex Oxoniensis Baroccianus 26

81 = S 49. Latina uersio extat in Collectione CT 30

Ἀναφορὰ πρὸς τοὺς εὐσεβεστάτους βασιλεῖς παρὰ τῆς ἁγίας συνόδου περὶ τῆς καθαιρέσεως Νεστορίου L III 568 M IIII 1236

1 Τοῖς εὐσεβεστάτοις καὶ θεοφιλεστάτοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι νικηταῖς τροπαιούχοις ἀεὶ αὐγούστοις ἡ ἁγία σύνοδος ἡ χάριτι Χριστοῦ καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῆι Ἐφεσίων μητροπόλει. Ἐκ προγόνων τὴν ἀληθῆ πίστιν παραλαβοῦσα ἡ ὑμετέρα εὐσέβεια, φιλόχριστοι καὶ θεοφιλέστατοι βασιλεῖς, καὶ ταύτην ὁσημέραι συναύξουσα, φροντίδα πλείστην τῶν τῆς ἀληθείας ποιεῖται δογμάτων, ὑπερ ὧν καὶ ταραχῆς ἐγγινομένης οὐ μόνον ἐν ἐκείνηι τῆι μεγαλοπόλει, ἀλλὰ καὶ ἐν πάσηι τῆι οἰκουμένηι ἐκ τῶν κηρυχθέντων τε καὶ διδαχθέντων παρὰ Νεστορίου δογμάτων, ἀλλοτρίων ὄντων τῆς τῶν ἁγίων πατέρων καὶ τῆς τῶν ἁγιωτάτων ἀποστόλων καὶ εὐαγγελιστῶν παραδόσεως, οὐ περιεῖδεν τὸ ὑμέτερον κράτος ταραττομένας τὰς ἁγίας ἐκκλησίας καὶ νοθευόμενα τὰ τῆς πίστεως καὶ τὰ τῆς ἀληθοῦς εὐσεβείας δόγματα, ἀλλ' ἐκ πάσης μητροπόλεως συναχθῆναι ἐκέλευσεν ἡ ὑμετέρα εὐσέβεια τοὺς θεοφιλεστάτους μητροπολίτας ἐπισκόπους, ἐπαγομένους καὶ τινὰς τῶν ἄλλων πόλεων ἐπισκόπους, καιρὸν αὐτάρκη πρὸς τὴν συνδρομὴν τὸν ἄχρι τῆς πεντη- d. 7. m. Iun. a. 431
2 κοστῆς ὁρίσασα. καὶ δὴ πάντων ἡμῶν συνειλεγμένων ἐν τῆι Ἐφεσίων μητροπόλει κατὰ τὴν ὁρισθεῖσαν ἡμῖν προθεσμίαν, βραδῦναι συνέβη τὸν ἁγιώτατον Ἰωάννην τὸν Ἀντιοχείας M IIII 1237 ἐπίσκοπον, ἀλλ' ὑπολαβόντες ἡμεῖς τῆς ὁδοῦ τὴν δυσχέρειαν αἰτίαν γεγονέναι τῆς βραδυτῆτος ἀνεβαλλόμεθα τὴν ἀκρόασιν ἐπὶ χρόνον δέκα καὶ ἓξ ἡμερῶν ἀπὸ τῆς ὡρισμένης προθεσμίας παρὰ τοῦ ὑμετέρου κράτους. καὶ οἱ μὲν τῶν ἁγίων ἐπισκόπων ὑπὸ γήρως πιεζόμενοι τὴν ἐπὶ ξένης διατριβὴν οὐκ ἔφερον, οἱ δὲ ἐν ἀρρωστίαις ἐκινδύνευον, τινὲς δὲ καὶ τὸ τέλος ὑπεξῆλθον τοῦ βίου ἐν τῆι Ἐφεσίων μητροπόλει, ἄλλοι δὲ πενίαι σφιγγόμενοι προ- L III 569
3 σιόντες ἡμῖν κατήπειγον τὴν ἀκρόασιν. μετὰ δὲ δεκαὲξ ὅλας ἡμέρας ἀριθμουμένας ἀπὸ τῆς ἁγίας πεντηκοστῆς συνεκροτήσαμεν τὴν ἀκρόασιν. ἐπειδὴ δὲ καὶ ὁ ἁγιώτατος ἐπίσκοπος τῆς Ἀντιοχέων Ἰωάννης διὰ Ἀλεξάνδρου Ἀπαμείας καὶ Ἀλεξάνδρου Ἱερασπόλεως τῶν θεοφιλεστάτων ἐπισκόπων προλαβόντων αὐτὸν ἐδήλωσεν ἡμῖν ἔχεσθαι τῆς ὑποθέσεως, τῆι πλείονι βραδυτῆτι ἐβάρησε τὴν ἁγίαν σύνοδον οὐχ ὁρώμενος. συναχθέντων τοίνυν

---

VM, P [= hk], S, D [= mn], W ΛtΛc

1 πα V ξδ M οβ P μθ SD 2 βασιλέασ VM παρὰ — συνόδου om. VMP 4 θεοσεβεστάτοισ MSW οὐαλεντιανῷ D 4/5 νικηταῖς — ἀεὶ om. VMP 5 ἡμετέρου S 6 μητροπόλει om. V 7 ὦ φιλόχριστοι VMP θεοσεβέστατοι W ὡσημέραι W ὅσαι ἡμέραι VMP 8 συναυξάνουσα VMP *crescentem* Λ πλεῖστον Λ ποιεῖτε Λ 9 ἐγγενομένησ VM ἐν[1] om. VMP οἰκουμένηι] μεγαλοπόλει S 10 τῆς] τοῖσ P 11/12 παρεῖδε VMP 12 ἁγίας om. S 13 ἀναχθῆναι W 14 θεοσέβεια S θεοσεβεστάτουσ VMh ἐπισκόπουσ μητροπολίτασ SDW 17 τὸν τῆσ ἀντιοχέων W 18 εἶναι D 19 ἀνεβαλόμεθα SW δέκα — ἡμερῶν PW δεκαὲξ ἡμερῶν MD ἡμερῶν δέκα καὶ ἓξ S δέκα ἡμερῶν καὶ ἓξ V 20 παρὰ om. SDW ἡμετέρου S γήρουσ VM 21 ἀρρωστίαισ MPSDWΛc ἀρρωστία VΛt 22 τοῦ βίου ὑπεξῆλθον SDW 23/24 μετὰ — ἀκρόασιν om. W ἀπὸ — πεντηκοστῆσ ἀριθμουμένασ V 24 ἁγίας om. SD καὶ om. W 25 ἀντιοχείασ MSD ἀπαμίασ V ἱεραπόλεωσ VW 26 θεοσεβεστάτων VMP αὐτῶν S αὐτὰ M 27 ἐβάρησε — οὐχ ὁρώμενος] *onerare — nolens* Λ ἐβάρυνε P

ἡμῶν ἐν τῆι ἡμέραι μηνὸς Ἰουνίου δευτέραι καὶ εἰκοστῆι κατὰ Ῥωμαίους καὶ πρὸ μιᾶς παρα-
καλεσάντων δι' εὐλαβεστάτων ἐπισκόπων τὸν θαυμαστὸν Νεστόριον συνεδρεῦσαί τε ἡμῖν καὶ
κοινωνῆσαι τῆς περὶ τῆς εὐσεβείας καὶ τῆς πίστεως ζητήσεως, οὐδεμιᾶς παρ' αὐτοῦ σαφῶς
τετυχήκαμεν ἀποκρίσεως, δηλώσαντος τοῦτο μόνον διὰ τῶν ἀπεσταλμένων ὅτιπερ σκέπτομαι,
**4** καὶ ἐὰν δοκιμάσω, ἀπαντῶ. τῆι οὖν ἐπαύριον συναχθέντες ἐν τῆι ἁγίαι καὶ μεγάληι
ἐκκλησίαι τῆι καλουμένηι Μαρίαι, προκειμένου τοῦ ἁγίου εὐαγγελίου ἐν τῶι μεσαιτάτωι θρό-
νωι καὶ αὐτὸν ἡμῖν παρόντα Χριστὸν δεικνύοντος, ἡμεῖς μὲν κατὰ τὴν τῶν κανόνων ἀκολουθίαν
αὖθις ἀπεστείλαμεν πρὸς αὐτὸν τρεῖς ἑτέρους ἁγιωτάτους ἐπισκόπους παρακαλοῦντες ἀπαν-
τῆσαι εἰς τὴν ἁγίαν σύνοδον καὶ τῆς διδασκαλίας αὐτοῦ ἀπολογίαν ποιήσασθαι· ὁ δὲ στρα-
τιώταις τὴν ἑαυτοῦ οἰκίαν κυκλοῦσθαι παρασκευάσας, καίτοι μηδενὸς ὄντος μήτε μὴν γενο-
μένου θορύβου κατὰ τὴν πόλιν, οὐδὲ ἀποκρίσεως τοὺς ἀποσταλέντας ἠξίωσε. τῶν δὲ
can. apost. 74 κανόνων παρακελευομένων προσκαλεῖσθαι καὶ τρίτηι κλήσει τὸν ἀπειθοῦντα, ἀποστείλαντες
πρὸς αὐτὸν αὖθις ἑτέρους ἁγιωτάτους ἐπισκόπους, ἀπειθοῦντα εὕρομεν καὶ ἀποπέμποντα τοὺς
ἀπεσταλμένους μετὰ πολλῆς αἰσχύνης καὶ ὕβρεως διὰ τῶν πρὸ τῆς οἰκίας αὐτοῦ περιεστώ-
**5** των στρατιωτῶν. ἐπεὶ οὖν οὐκ ἔδει τὴν τοσαύτην ἁγίαν σύνοδον συνελθοῦσαν ἄπρα-
κτον μένειν ἐκείνου κακῶι συνειδότι μὴ ἀπαντήσαντος, τὰ περὶ τῆς πίστεως καὶ τῆς εὐσε-
βείας ἀναγκαίως ἐκινοῦμεν δόγματα, προλάμπειν τῶν πραττομένων ὑπομνημάτων τυπώσαντες
ep. 25 τὸ θεοφιλὲς γράμμα τῆς ὑμετέρας εὐσεβείας, μεθ' ὃ τὴν ἔκθεσιν τῆς εὐσεβοῦς πίστεως
προθέντες τῆς πρότερον μὲν παρὰ τῶν ἁγιωτάτων ἀποστόλων παραδεδομένης ἡμῖν, μετὰ δὲ
ταῦτα ἐκτεθείσης παρὰ τῶν ἁγιωτάτων πατέρων τῶν τιη ἐν τῆι Νικαέων πόλει συνηγμένων
παρὰ τοῦ ἐν ἁγίοις Κωνσταντίνου, οὗ τὴν ὀρθὴν πίστιν λαμπροτέραν ἐπέδειξε τὸ ὑμέτερον
ep. 4 κράτος, καὶ τῆι ἐκθέσει ταύτηι πρότερον μὲν τὰς περὶ τῆς πίστεως ἐπιστολὰς τοῦ θεοφιλε-
στάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου συγκρίναντες, συμφώνους εὕρομεν τοῖς τε
A I III 1240 δόγμασι καὶ νοήμασι καὶ κατ' οὐδὲν ἀπηλλοτριωμένην τὴν αὐτοῦ διδασκαλίαν τῆς εὐσεβοῦς
**6** ἐκείνης ἐκθέσεως. ἐπειδὴ δὲ λοιπὸν ἐλείπετο δοκιμασθῆναι τὰ δόγματα τὰ κηρυχθέντα
παρὰ τοῦ θαυμασιωτάτου Νεστορίου (οὐ γὰρ ἄδηλα ἦν, ἔν τε ταῖς ἐπιστολαῖς αὐτοῦ
διαρρήδην κηρυττόμενα καὶ ἐν βίβλοις καὶ ἐν ταῖς δημοσίαις διαλέξεσι φανερῶς ἐκβοώμενα,
καὶ ἐν αὐτῆι δὲ τῆι τῶν Ἐφεσίων μητροπόλει πρὸς τινὰς τῶν εὐλαβεστάτων ἐπισκόπων
L III 572 ὑπ' αὐτοῦ φανερῶς εἰρημένα· οὐδὲ γὰρ ἐπαύετο λέγων· οὐ δεῖ λέγεσθαι θεὸν τὸν δι' ἡμᾶς
ἄνθρωπον γεγενημένον, ὀνειδίζων θεότητι τὰ ἀνθρώπινα, ἃ οὐ δι' ἀσθένειαν, ἀλλὰ διὰ τὴν
εἰς ἡμᾶς φιλανθρωπίαν ἀνεδέξατο, διαγελῶν δὲ ὥσπερ τὸ σεπτὸν ἡμῶν καὶ θεῖον μυστήριον,
διαλεγόμενος πρὸς τοὺς εὐλαβεστάτους ἐπισκόπους τετόλμηκεν εἰπεῖν ὅτι ἐγὼ διμηνιαῖον καὶ
τριμηνιαῖον θεὸν οὐ λέγω, καὶ ταῦτα πρὸ τριῶν ὅλων ἡμερῶν τῆς ἁγίας συνόδου, καθὰ

---

VM, P [= hk], S, D [= mn], WΛ$^{t}$Λ$^{c}$

1 τῆι om. S  β̄ καὶ κ̄ W  εἰκάδι VMP  1/2 καλεσάντων VP  2 δι' — ἐπισκόπων om. W  3 τῆς om. PW  τε καὶ VMP  τῆς om. VMP  3/4 οὐδεμιᾶς — ἀποκρίσεως om. SW  3 καὶ οὐδεμιᾶσ D  σαφῶς om. V  4 δηλώσαν S δεδήλωκεν ἡμῖν W  ἀποσταλέντων S  ὅτι S om. W  5 καὶ om. W  7 παρόντα] τὸν V  8 καὶ αὖθισ VMP  παρακαλοῦντασ S  9 τὴν ἀπολογίαν VM διδασκαλίαν P  12 προσκαλεῖσθαι — κλήσει SDW τῆ τρίτη προσκαλεῖσθαι [προκαλεῖσθαι V] VMP  τὸν om. S  13 ἁγιωτάτους om. V  14/15 περιεστώτων MPDΛ προεστώτων S ἑστώτων VW  15 ἐπειδὴ οὖν VMP  17 ἀναγκαίως om. V  19 ὑπὸ SD  20 ἐκτεθεῖσαν S  τῶν τριακοσίων δεκαοκτὼ [τιη M] ἁγίων [ἁγίων θεοφόρων P] πατέρων VP τῶν τριακοσίων δεκαοκτὼ D  ἐπισκόπων πατέρων W  μητροπόλει VMP  συνειλεγμένων SD  21 ὀρθὴν om. SDW  ἐπεδείξατο SDW ὑπέδειξε P  23 συμφωνοῦσαν V ηὕραμεν M  24 δόγμασι καὶ νοήμασι VMPWΛ δόγμασι καὶ ῥήμασι S νοήμασι καὶ ῥήμασι D ἠλλοτριωμένην SDW  25 ἔλιπε τὸ MP  26 οὐ VMPΛ$^{t}$ οὐδὲ SDWΛ$^{c}$  τε om. VMP  27 καὶ ἐν βίβλοις om. V  βιβλίοισ MP  δημοσίοισ S  27—29 ἐκβοώμενα — φανερῶς om. V  27 ἐκβοώμενα MPWΛ ἀκροώμενα SD  28/29 καὶ ἐν αὐτῆι — εἰρημένα om. W  30 γεγεννημένον V γενόμενον W  31 πρὸσ SDW  φιλίαν S  καὶ θεῖον ἡμῶν VM καὶ θεῖον P  32 τὸν διμηνιαῖον VMPΛ$^{c}$  32/33 διμηναῖον καὶ τριμηναῖον W

καὶ ἡ τῶν ὑπομνημάτων περιέχει πίστις), ἀναγκαίως καὶ ταῦτα συγκρίναντες τῆι ἐκθέσει
τῶν ἁγίων πατέρων μαχόμενά τε εὑρίσκομεν καὶ πάντηι ἐναντία τῆς καθολικῆς καὶ ἀποστο-
λικῆς ἡμῶν πίστεως, ὡς μηδὲ δεῖσθαι ἀπολογίας Νεστόριον, ἀλλ' αὐτὸν ἑαυτοῦ γίνεσθαι
καθ' ἑκάστην κατήγορον, ἐμμένοντα τοῖς διεφθαρμένοις αὐτοῦ δόγμασι καὶ ἐναντίοις παντελῶς
7 τῆς καθολικῆς καὶ ἀποστολικῆς ἡμῶν πίστεως. τούτου οὖν ἕνεκεν αὐτὸν μὲν τῆς ἱερω-
σύνης καὶ τῆς διαφθαρμένης ἐπαύσαμεν διδασκαλίας, καθαίρεσιν αὐτοῦ κανονικὴν ποιησά-
μενοι καὶ ἐπαινέσαντες τὸν θεοφιλέστατον καὶ ἁγιώτατον ἐπίσκοπον τῆς μεγάλης Ῥώμης
Κελεστῖνον πρὸ τῆς ἡμῶν ψήφου καταγνόντα τῶν αἱρετικῶν δογμάτων Νεστορίου καὶ πρὸ
ἡμῶν ἐξενεγκόντα τὴν κατ' αὐτοῦ ψῆφον διὰ τὴν τῶν ἐκκλησιῶν ἀσφάλειαν καὶ τὴν τῆς παρα-
δοθείσης ἡμῖν εὐσεβοῦς καὶ σωτηριώδους πίστεως παρά τε τῶν ἁγίων ἀποστόλων καὶ
εὐαγγελιστῶν καὶ τῶν ἁγίων πατέρων, ἣν διαστρέφειν ἐπεχείρησε τῶι διεφθαρμένωι λόγωι
(καὶ πολὺ πλῆθος ὁ καταγνωσθεὶς ἐξέχεε)· τοῦ δὲ ὑμετέρου δεόμεθα κράτους κελεῦσαι πᾶσαν
αὐτοῦ διδασκαλίαν ἀναιρεῖσθαι ἐκ τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ τὰ εὑρισκόμενα ὁπουδη-
ποτοῦν βιβλία πυρὶ παραδίδοσθαι, δι' ὧν ἀθετεῖν πειρᾶται τὴν τοῦ θεοῦ χάριν ἀνθρώπου
γενομένου διὰ φιλανθρωπίαν, ἣν αὐτὸς οὐ φιλανθρωπίαν, ἀλλ' ὕβριν ἐνόμισε τῆς θεότητος·
εἰ δέ τις καταφρονήσει τῶν θεσπιζομένων, δεδιέναι τοῦ ὑμετέρου κράτους τὴν ἀγανάκτη-
σιν. οὕτω γὰρ καὶ ἡ ἀποστολικὴ πίστις ἄτρωτος διαμενεῖ τῆι ὑμετέραι εὐσεβείαι κρα-
τυνομένη ἅπαντές τε ἡμεῖς ἐκτενεῖς τὰς εὐχὰς ὑπὲρ τοῦ ὑμετέρου ποιησόμεθα κράτους, δι'
οὗ Χριστὸς δοξάζεται καὶ ἡ πίστις κρατύνεται καὶ ἡ χάρις τοῦ θεοῦ πᾶσιν ἀνθρώποις γνώ-
ριμος γίνεται.

Πρὸς δὲ σαφεστέραν καὶ ἐντελεστέραν εἴδησιν τῶν πεπραγμένων συνέζευκται καὶ τὰ ὑπομνήματα, καὶ ὑπέγραψαν πάντες οἱ προταγέντες ἐν τοῖς ὑπομνήμασι θεοσεβέστατοι ἐπίσκοποι.

82 = S 73 A 54. Latina uersio extat in Collectione CT 59 et in Collectione Veronensi 22

Ἴσον ἐπιστολῆς γραφείσης παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν ἀρχιεπίσκοπον τῆς Ῥώμης Κελεστῖνον δηλοῦσα πάντα τὰ πραχθέντα ἐν αὐτῆι τῆι Ἐφεσίων ἁγίαι καὶ μεγάληι συνόδωι L III 660 M IIII 1329

1 Τῶι ἁγιωτάτωι καὶ ὁσιωτάτωι συλλειτουργῶι Κελεστίνωι ἡ ἁγία σύνοδος ἡ κατὰ θεοῦ
χάριν συναχθεῖσα ἐν τῆι Ἐφεσίων μητροπόλει ἐν κυρίωι χαίρειν. Τῆς μὲν σῆς ὁσιό-
τητος ὁ περὶ τὴν εὐσέβειαν ζῆλος καὶ ἡ περὶ τῆς ὀρθῆς πίστεως τῶι πάντων ἡμῶν σω-
τῆρι θεῶι φίλη τε καὶ ἀρέσκουσα φροντὶς ἀξία παντὸς γέγονε θαύματος ἔθος γὰρ
ὑμῖν τοῖς οὕτω μεγάλοις εὐδοκιμεῖν εἰς πάντα ἐρείσματά τε τῶν ἐκκλησιῶν τὰς ἑαυτῶν
2 ποιεῖσθαι σπουδάς. ἐπειδὴ δὲ ἐχρῆν ἅπαντα εἰς γνῶσιν τῆς σῆς ὁσιότητος ἀνενεχθῆναι

82 cf. epist. Caelestini [Coll. Veron. 25, 10]. *gestarum rerum . quarum nobis ordinem sancti fratris nostri Cyrilli relatio patefecit*

VM, P [= hk], S, D [= mn], WΛtΛc

3 πίστεως] ἐκκλησίασ W   ἀλλά VMh   αὐτοῦ P   γενέσθαι PW   4 καὶ] τοῖσ καὶ W ἐναντίωσ S   5 μὲν] μετὰ D   6 καθολικὴν D   7 καὶ ἁγιώτατον om. V   9 διά τε τὴν P τὴν om. VMP   12 τὸ πλῆθοσ D   συνέχεε P   δεόμεθα om. W   13 τὴν διδασκαλίαν S   ἀναιρεθῆναι SD   ἐκ om. SDW   13/14 ὁπουδηποτεοῦν M ὁπουδήποτε V ὁπουδήποτ' ἂν S   15 γενομένου οὐ V   ἣν — φιλανθρωπίαν om. V   ὡσ ἐνόμισε V   18 ἡμετέρου S   κράτουσ ποιησόμεθα VMP   19 ἡ¹ om. VMP   21 γεγραμμένων S   22 ὑπεγράψαμεν SD   22/23 θεοσεβέστατοι ἐπίσκοποι om. VMP

VM, P [= hk], S, D [= mn], AJΛtΛcΛu

26/27 Ἴσον — συνόδωι SDAJΛ ἀναφορά VMP   27 πάντα om. Λtc   28 π̄β V ὀγ̄ PD ὁσιωτάτω SDAJ θεοσεβεστάτω VMP   29 ἐν — χαίρειν om. S   30/31 τοῦ — σωτῆρος Λtc   31 θεῶι] χ̄ω S   γέγονε παντόσ S   32 μεγάλωσ S   ἅπαντα VMP

τὰ παρακολουθήσαντα, γράφομεν ἀναγκαίως ὅτι κατὰ βούλησιν τοῦ πάντων ἡμῶν σωτῆρος
Χριστοῦ καὶ κατὰ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων συνήχθημεν ἐν
τῆι Ἐφεσίων μητροπόλει ἐκ πολλῶν καὶ διαφόρων ἐπαρχιῶν, ὑπὲρ τοὺς διακοσίους ὄντες
ep. 25 τὸν ἀριθμὸν ἐπίσκοποι, εἶτα τῶν εὐσεβῶν θεσπισμάτων τῶν φιλοχρίστων βασιλέων, δι᾽ ὧν
d. 7. m. Iun. κεκλήμεθα, καιρὸν ὁριζόντων τῶι συνεδρίωι τῆς ἁγίας συνόδου τὴν ἡμέραν τῆς ἁγίας πεντη-
a. 431 κοστῆς, ἁπάντων δὲ συνδεδραμηκότων μάλιστα διὰ τὸ ἐγκεῖσθαι ταῖς τῶν βασιλέων συλλα-
βαῖς ὡς εἰ μή τις ἀπαντήσειε κατὰ τὴν ὡρισμένην προθεσμίαν, οὐκ ἀγαθῶι συνειδότι ἀπο-
M IIII 1332 λιμπάνεται καὶ ἐστὶν ἀναπολόγητος παρά τε θεῶι καὶ ἀνθρώποις, ὑστέρησεν ὁ εὐλαβέστατος
Ἰωάννης ὁ τῆς Ἀντιοχέων ἐπίσκοπος, οὐχ ὡς ἀπὸ γνώμης ἁπλῆς, ἀλλ᾽ οὐδὲ τοῦ διαστή-
ματος τοῦ κατὰ τὴν ὁδοιπορίαν ἐμποδὼν γενομένου, ἀλλὰ κρύπτων εἰς νοῦν βουλήν τε καὶ
3 σκέψιν ἀπάιδουσαν τῶι θεῶι, ἣν οὐκ εἰς μακρὰν ἐλθὼν ἔδειξεν ἐν τῆι Ἐφεσίων. ὑπερε-
θέμεθα τοίνυν τὸ συνέδριον μετὰ τὴν ὁρισθεῖσαν ἡμέραν τῆς ἁγίας πεντηκοστῆς ἐφ᾽ ὅλαις
δέκα καὶ ἓξ ἡμέραις, καίτοι πολλῶν ἐπισκόπων τε καὶ κληρικῶν καὶ νόσωι πεπιεσμένων καὶ
τεθλιμμένων εἰς δαπανήματα, ἐνίων δὲ καὶ ἐξοδευσάντων τοῦ βίου, καὶ ἦν, ὡς ὁρᾶι καὶ
ἡ σὴ ὁσιότης, ὕβρις μᾶλλον κατὰ τῆς ἁγίας συνόδου τὸ δρώμενον. τοσαύτηι γὰρ ὑπερ-
θέσει δυστρόπως ἐχρήσατο, καίτοι φθασάντων αὐτὸν τῶν ἐκ μακροτέρων διαστημάτων.
ὅμως μεθ᾽ ἡμέραν ἑξκαιδεκάτην προέδραμον τινὲς τῶν σὺν αὐτῶι ἐπισκόπων μητροπολῖται
δύο, Ἀλέξανδρος Ἀπαμείας καὶ ἕτερος Ἀλέξανδρος Ἱεραπόλεως, εἶτα ἡμῶν αἰτιωμένων τὸ
τῆς ἀφίξεως βράδος τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου, ἔφασαν οὐχ ἅπαξ, ἀλλὰ πλει-
L III 661 στάκις ὅτι ἐνετείλατο ἡμῖν ἀπαγγεῖλαι τῆι θεοσεβείαι ὑμῶν ὥστε εἰ γένοιτο αὐτὸν καὶ ἔτι
4 βραδῦναι, μὴ ὑπερθέσθαι τὴν σύνοδον, ποιῆσαι δὲ μᾶλλον ἃ δεῖ. τούτων ἀπαγγελθέντων
καὶ φανεροῦ γεγονότος ἀπό τε τοῦ βράδους καὶ ἐκ τῶν παρ᾽ αὐτοῦ μηνυθέντων ὅτι παραι-
τεῖται τὸ συνέδριον ἢ τῆι Νεστορίου φιλίαι χαριζόμενος ἢ καὶ ὅτι κληρικὸς γέγονε τῆς ὑπ᾽
αὐτὸν ἐκκλησίας ἢ καὶ ταῖς τινῶν ὑπὲρ αὐτοῦ παρακλήσεσιν εἴκων, συνήδρευσεν ἡ ἁγία
σύνοδος ἐν τῆι μεγάληι κατὰ τὴν Ἐφεσίων ἐκκλησίαι τῆι ἐπίκλην Μαρίαι. ἐπειδὴ δὲ
πάντων προθύμως συνδεδραμηκότων μόνος ἀπελιμπάνετο τοῦ συνεδρίου Νεστόριος, ὑπέμνησεν
ἡ ἁγία σύνοδος κανονικῶς αὐτὸν δι᾽ ἐπισκόπων πρώτηι καὶ δευτέραι καὶ τρίτηι κλήσει· ὁ
δὲ στρατιώταις περιφράξας τὴν ἑαυτοῦ οἰκίαν ἀπενοήθη κατὰ τῶν τῆς ἐκκλησίας θεσμῶν
καὶ οὐκ ἠνέσχετο ἑαυτὸν ἐμφανῆ καταστῆσαι οὔτε μὴν ἀπολογήσασθαι περὶ τῶν ἀνοσίων
ep. 4 5 ἑαυτοῦ δυσφημιῶν. λοιπὸν ἀνεγνώσθη τὰ γράμματα τὰ γραφέντα πρὸς αὐτὸν παρὰ τοῦ
ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων ἐκκλησίας Κυρίλλου, ἃ καὶ ἐδοκί-
μασεν ἡ ἁγία σύνοδος ὀρθῶς καὶ ἀλήπτως ἔχειν καὶ κατὰ μηδένα τρόπον ἀσύμφωνα εἶναι
ταῖς θεοπνεύστοις γραφαῖς ἢ γοῦν τῆι παραδοθείσηι καὶ ἐκτεθείσηι πίστει ἐν τῆι μεγάληι
συνόδωι παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων κατὰ καιρούς, καθὰ καὶ ἡ
ep. 5 σὴ ὁσιότης ὀρθῶς τοῦτο δοκιμάσασα ἐμαρτύρησεν. ἀναγνωσθείσης δὲ καὶ τῆς ἐπιστολῆς
Νεστορίου τῆς πρὸς αὐτὸν γραφείσης τὸν μνημονευθέντα ἁγιώτατον καὶ θεοσεβέστατον

---

VM, P [=hk], S [usque ad 15 τοσαύτη], D [= mn], A J $A^t A^c A^u$

5 καὶ κεκλήμεθα VP ἡμετέραν S 6 δὲ om. $PA^{tu}$ 7 ὑπαντήσειε A μετὰ A 8 τε om. S 9 ἀλλ᾽ om. S 10 ὁδὸν S 10/11 εἰς — σκέψιν SDAJA μὲν βουλὴν εἰσ νοῦν τε καὶ σκέψιν VMP 13 δεκαὲξ DAJ τε om. P 14 τὰ δαπανήματα VMP ὁρᾶ καὶ SDAJ$A^{cu}$ ὁρᾶ VMP$A^t$ 15 γὰρ — p. 7, 8 ἔχων ἐκ- om. S propter folii defectum 16 δυστρόπω A τῶν] *multi* A 17 ἑκκαιδεκάτην P 19 ἰωάννου τοῦ ἐπισκόπου ἀντιοχείασ M ἀλλὰ καὶ SDAJ 20 γένηται DAJ 21 ὑπέρθησθε A ποιῆσαι DJ ποιεῖσθαι VMP ποιεῖτε A 24 συνήθροισεν AJ γρ συνήδρευσεν J in mg. 25 τῆ μεγάλη τῆ P ἔφεσον VMP 26 ὑπελιμπάνετο A 27 καὶ τρίτηι κλήσει] κλήσει ὡσαύτωσ καὶ τρίτη V 28 ἐπενοήθη A κατὰ om. DJ τοὺσ — θεσμούσ P 29/30 καὶ οὐκ — δυσφημιῶν om. P 30 αὐτοῦ VM 31 καὶ θεοφιλεστάτου om. M ἀρχιεπισκόπου DAJ 32 εἶναι ἡ A ἡ MP 33 πίστει καὶ ἐκτεθείση V πίστει P 34 παρὰ om. A τῆ νικαία M 35 τοῦτο ὀρθῶσ A δὲ δὴ P 36 θεοφιλέστατον M

ἀδελφὸν ἡμῶν καὶ συλλειτουργὸν Κύριλλον, ἐδικαίωσεν ἡ ἁγία σύνοδος ἀλλότρια παντελῶς
τῆς τε ἀποστολικῆς καὶ εὐαγγελικῆς πίστεως εἶναι τὰ ἐν αὐτῆι δόγματα πλείστην ὅσην καὶ
6 ξένην νοσοῦντα τὴν δυσφημίαν. ἀναγνωσθεισῶν δὲ ὁμοίως καὶ τῶν ἐξηγήσεων αὐτοῦ
τῶν ἀσεβεστάτων, ἔτι μὴν καὶ τῆς γραφείσης πρὸς αὐτὸν ἐπιστολῆς παρὰ τῆς σῆς ὁσιό- ep. 10
τητος, δι' ἧς εὐλόγως κατεκρίνετο ὡς δύσφημα γεγραφὼς καὶ ἀνοσίους φωνὰς ταῖς ἰδίαις
ἐξηγήσεσιν ἐνθείς, ψῆφος ἐξενήνεκται δικαία καθαιρέσεως κατ' αὐτοῦ, μάλιστα ὅτι τοσοῦτον
ἀπέσχε τοῦ μετανοῆσαι ἢ μεταγνῶναι ἐφ' οἷς δεδυσφήμηκεν ἔτι τὴν Κωνσταντινουπολιτῶν M IIII 1333
ἔχων ἐκκλησίαν, ὥστε καὶ ἐν αὐτῆι τῆι Ἐφεσίων μητροπόλει διαλέγεσθαι πρός τινας τῶν
ἁγίων μητροπολιτῶν ἐπισκόπων, ἀνδρῶν οὐκ ἀσήμων, ἀλλ' ἐλλογίμων καὶ θεοσεβεστάτων,
τολμῆσαί τε εἰπεῖν ὅτι ἐγὼ διμηνιαῖον καὶ τριμηνιαῖον θεὸν οὐχ ὁμολογῶ, καὶ ἕτερα δὲ πρὸς
τούτοις εἶπε χαλεπώτερα. ὡς οὖν ἀνοσίαν καὶ μιαρωτάτην αἵρεσιν καὶ ἀνατρέπουσαν
τὴν εὐαγεστάτην ἡμῶν θρησκείαν καὶ ὅλην ἐκ βάθρων τοῦ μυστηρίου τὴν οἰκονομίαν ἀφαι-
7 ροῦσαν καθείλομεν, ὡς ἤδη φθάσαντες εἴπομεν. ἀλλ' οὐκ ἦν, ὡς ἔοικε, τῆς εἰς Χριστὸν
ἀγάπης τὸ γνήσιον ἔχοντας καὶ ζηλώσαντας τῶι κυρίωι μὴ πολλῶν πειραθῆναι πραγμάτων.
προσεδοκήσαμεν γὰρ τὸν εὐλαβέστατον τῆς Ἀντιοχέων ἐπίσκοπον Ἰωάννην τήν τε ἀκρίβειαν
τῆς συνόδου καὶ τὴν εὐσέβειαν ἐπαινέσαι καὶ τάχα που και μέμψασθαι τὸ ἐπὶ τῆι καθαι-
ρέσει βράδος, μεταπέπτωκε δὲ εἰς πᾶν τοὐναντίον τὰ τῆς προσδοκίας ἡμῖν. εὕρηται L III 664
γὰρ ἐχθρὸς καὶ πολεμιώτατος τῆι τε ἁγίαι συνόδωι, καὶ αὐτῆι δὲ τῆι ὀρθῆι πίστει τῶν ἐκ-
κλησιῶν, ὡς αὐτὰ μηνύει τὰ πράγματα. ἅμα τε γὰρ εἰσῆλθεν εἰς τὴν Ἐφεσίων, πρὶν
ἀποπλύνασθαι τὴν ἐκ τῆς ὁδοιπορίας κόνιν, πρὶν ἀποδύσασθαι τὸ ἱμάτιον, συναγαγών τινας
τῶν Νεστορίωι συναποστατησάντων καὶ βλάσφημα κατὰ τῆς ἑαυτῶν λαλ ύντων κεφαλῆς
καὶ μόνον οὐχὶ καταπαιζόντων τῆς δόξης τοῦ Χριστοῦ καὶ συλλέξας ὥσπερ κολλήγιον ἑαυ-
τῶι τριάκοντά που τὸν ἀριθμὸν ἀνθρώπων ἐπισκοπῆς ἐχόντων ὄνομα, ὧν οἳ μέν εἰσιν
ἀπόλιδες, σχολάζοντες δὲ καὶ ἐκκλησίας οὐκ ἔχοντες, ἕτεροι δὲ πρὸ πολλῶν ἐτῶν ἐπὶ δει-
ναῖς αἰτίαις καθηιρημένοι παρὰ τῶν ἰδίων μητροπολιτῶν, σὺν αὐτοῖς δὲ καὶ Πελαγιανοὶ καὶ
Κελεστιανοὶ καὶ τῶν ἀπὸ Θεσσαλίας ἐκβεβλημένων τινές, πρᾶγμα τετόλμηκεν ἀνόσιον, ὃ
μηδεὶς πώποτε τῶν πρὸ αὐτοῦ. συντάττει γὰρ κατὰ μόνας χαρτίον καὶ δὴ καθαιρέσεως nr. 151
ὀνόματι ὕβριν προσετρίψατο τῶι ἁγιωτάτωι καὶ θεοσεβεστάτωι τῆς Ἀλεξανδρέων ἐπισκόπωι
Κυρίλλωι καὶ τῶι θεοσεβεστάτωι ἀδελφῶι καὶ συνεπισκόπωι ἡμῶν Μέμνονι τῶι τῆς Ἐφεσίων,
οὐδενὸς ἡμῶν εἰδότος, ἀλλ' οὐδὲ τῶν ὑβρισθέντων ἐγνωκότων τὸ δρώμενον ἢ διὰ ποίαν
αἰτίαν τοῦτο τετολμήκασιν, ἀλλ' ὥσπερ οὐκ ἀγανακτοῦντος ἐπὶ τούτοις τοῦ θεοῦ, ὡς
οὐκ ὄντων κανόνων ἐκκλησιαστικῶν ἢ ὡς οὐ μέλλοντες κινδυνεύειν αὐτοὶ διὰ τὸ ἐπὶ τού-
τοις θράσος. ὑβρίζουσι δὲ τῶι τῆς ἀκοινωνησίας ὀνόματι καὶ πᾶσαν τὴν σύνοδον καὶ
δὴ καὶ δημοσίαι χαρτίωι ταῦτα ἐνθέντες προύθεσαν εἰς ἀνάγνωσιν τοῖς ἐθέλουσι, τοῖς τοῦ

---

VM, P [= hk], S [inde a 8 — κλησίαν ὥστε], D [= mn], AJΛtΛcΛu

1 ἀλλότριον P  2 τὰ] εἰσ τὰ P  3 βλασφημίαν DAJ  4 ἔτι γε μὴν V  παρὰ om. P  6 ἐξενήνεγκται D  δικαίω M  7 ἀπέσχετο VMP  10 τε] τι MP  διμηνιαῖον A τὸν διμηνιαῖον VMPSDJΛc  12 τὴν οἰκονομίαν τοῦ μυστηρίου P  12/13 ἀναφέρουσαν DJ ἀναστρέφουσαν A  13 καθείδομεν A  εἴπαμεν A  14 γνήσιον] τέλειον S  ζηλώσαντεσ A  15 ἀντιοχείασ S  ἐπίσκοπον om. SDAJ  17 ηὕρηται S  18 καὶ[1] om. Λc  19 καὶ ὡσ S  ἐφεσίων καὶ P ἐφεσίων πόλιν V  21 ἀποστατησάντων P  λαλούντων κατὰ τῆσ ἑαυτῶν VMP  22 οὐχὶ καὶ DAJ  τοῦ om. A  κολλέγιον PA τὸ κολλήγιον DJ  23 ἐπισκόπων V  24 δὲ VMPA om. SDAJ  ἐκκλησίαν A  ἔχοντασ S  δὲ καὶ VMP  πολλῶν ἐτῶν] πολλοῦ S  25 ὑπὸ P ἀπὸ VM  καὶ[2] om. DAJ  26 θεσσαλονίκησ M  τετολμήκασιν S  27 καὶ δὴ] *quidem* Λ  28 ὀνόματι καὶ Λ ὄνομα καὶ VMP  προέτριψε S  θεοφιλεστάτω S  28/29 τῆς Ἀλεξανδρέων — θεοσεβεστάτωι om. V  29 τῶι om. M  ἀδελφῶ — ἡμῶν VMPΛc καὶ συνεπισκόπω ἡμῶν Λt ἡμῶν ἀδελφῶ καὶ συνεπισκόπω SA ἡμῶν καὶ συνεπισκόπωι Λu ἡμῶν ἀδελφῶ καὶ συλλειτουργῶ ἐπισκόπω DJ  30 εἰδότοσ ὑμῶν S  ὑβρικότων S  31 ὥσπερ DJ  32 μελλόντων — αὐτῶν VMP  33 κοινωνησίασ k κοινωνίασ h  33/34 καὶ — καὶ] καὶ δὴ SDJ καὶ A  34 ἐπιθέντεσ VMP  εἰσ — τοῖσ ἐθέλουσι [θέλουσι DJ] προύθεσαν [προύθεσαν om. A] SDAJ

θεάτρου τοίχοις προσπήξαντες, ἵνα τὴν ἑαυτῶν ἀσέβειαν θεατρίσωσι. καὶ οὐ μέχρι τού-
nr. 153 των γέγονεν αὐτοῖς τὰ τολμήματα, ἀλλὰ γὰρ καὶ τεθαρσήκασιν, ὡς δράσαντές τι κανονικόν,
8 καὶ εἰς ἀκοὰς τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἀνενεγκεῖν τὰ τοιάδε. τού-
των οὕτως γεγονότων ὅ τε ἁγιώτατος καὶ θεοφιλέστατος ἐπίσκοπος τῆς Ἀλεξανδρέων Κύ-
nr. 87 ριλλος καὶ μὴν καὶ ὁ θεοσεβέστατος τῆς Ἐφεσίων πόλεως ἐπίσκοπος Μέμνων βιβλία συν-
M IIII 1336 θέντες καὶ αἰτιασάμενοι αὐτόν τε τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην καὶ τοὺς σὺν αὐτῶι
τοῦτο δράσαντας, προσήγαγον ὁρκοῦντες ἡμῶν τὴν ἁγίαν σύνοδον μεταπέμψασθαι κανονι-
κῶς αὐτόν τε τὸν Ἰωάννην καὶ τοὺς σὺν αὐτῶι ὥστε καὶ ἀπολογήσασθαι περὶ ὧν τετολμή-
nr. 151 κασι, καὶ εἴ τι ἐγκαλεῖν ἔχοιεν, εἰ δύνανται, εἰπεῖν καὶ διελέγξαι· ἐν γὰρ τῶι γραφέντι παρ'
αὐτῶν καθαιρετικῶι, μᾶλλον δὲ ὑβριστικῶι χαρτίωι πρόφασιν ἐνέθηκαν ὅτι Ἀπολιναριασταὶ
9 καὶ Ἀρειανοὶ καὶ Εὐνομιανοί εἰσι καὶ διὰ τοῦτο καθῄρηνται παρ' ἡμῶν. ἐνισταμένων
τοίνυν τῶν τὴν ὕβριν ὑπομεινάντων τὴν παρ' ἐκείνων, πάλιν ἡμεῖς ἀναγκαίως συνεδρεύ-
σαντες ἐν τῆι μεγάληι ἐκκλησίαι, ὑπὲρ τοὺς διακοσίους ἐπισκόπους ὄντες, μιᾶι καὶ δευτέραι
καὶ τρίτηι κλήσει ἐν ἡμέραις δυσὶ κεκλήκαμεν αὐτόν τε τὸν Ἰωάννην καὶ τοὺς σὺν αὐτῶι εἰς
τὸ συνέδριον ὥστε διελέγξαι τοὺς ὑβρισμένους καὶ ἀπολογήσασθαι καὶ τὰς αἰτίας εἰπεῖν ἐφ'
L III 665 αἷς τὸ τῆς καθαιρέσεως συνέθηκαν χαρτίον, καὶ οὐκ ἐθάρσησαν ἐλθεῖν. ἔδει δὲ αὐτόν,
εἴπερ ἀληθῶς ἐλέγχειν ἠδύνατο τοὺς μνημονευθέντας ὁσίους ἄνδρας ὡς ὄντας αἱρετικούς, καὶ
ἀπαντῆσαι καὶ δεῖξαι τοῦτο ἀληθὲς ὄν, ὃ καὶ λαβὼν ὡς ἰσχυρὸν καὶ ἀναμφίβολον ἔγκλημα τὴν
προπετῆ ψῆφον κατ' αὐτῶν ἐξηνέγκατο. ἀλλ' ὑπὸ σαθροῦ συνειδότος οὐκ ἀπήντησε, τὸ
δὲ κατασκευαζόμενον ἐκεῖνο ἦν. ᾠήθη γὰρ ὅτι τῆς ἀτόπου ταύτης καὶ ἐκνομωτάτης
ὕβρεως λυομένης συναναπραπήσεται καὶ ἡ δικαία τῆς συνόδου ψῆφος ἡ ἐξενεχθεῖσα κατὰ
10 τοῦ αἱρετικοῦ Νεστορίου. ἀγανακτήσαντες τοίνυν εἰκότως ἐβουλευσάμεθα μὲν τὴν ἴσην
κατά τε αὐτοῦ καὶ τῶν ἄλλων ψῆφον ἐξενεγκεῖν ἐννόμως, ἣν αὐτὸς παρανόμως κατὰ τῶν
ἐπ' οὐδενὶ κατεγνωσμένων ἔθετο· ὑπὲρ δὲ τοῦ τὴν ἐκείνου προπέτειαν μακροθυμίαι νικῆσαι,
εἰ καὶ ὅτι μάλιστα δικαίως ἂν ἔπαθεν αὐτὸ καὶ ἐννόμως, τετηρήκαμεν τῆι κρίσει τῆς σῆς
θεοσεβείας καὶ τοῦτο, τέως αὐτοὺς ἀκοινωνήτους ποιήσαντες καὶ περιελόντες αὐτῶν πᾶσαν
ἐξουσίαν ἱερατικήν, ὥστε μηδένα δύνασθαι βλάπτειν δι' οἰκείων ἀποφάσεων. τοὺς γὰρ
οὕτως ἀγρίως καὶ ἀπηνῶς καὶ ἀκανονίστως χωρεῖν εἰωθότας ἐπὶ τὰ οὕτω δεινὰ καὶ παγ-
χάλεπα τῶν πραγμάτων πῶς οὐκ ἦν ἀναγκαῖον καὶ οὐχ ἑκόντας παρελέσθαι τῆς τοῦ δύ-
11 νασθαι βλάπτειν ἐξουσίας; τοῖς μὲν οὖν ἀδελφοῖς ἡμῶν καὶ συλλειτουργοῖς Κυρίλλωι
καὶ Μέμνονι τοῖς τὴν παρ' αὐτῶν ὑπομείνασιν ὕβριν καὶ κοινωνικοὶ πάντες ἐσμὲν καὶ μετὰ τὴν
ἐκείνων προπέτειαν συνελειτουργήσαμεν καὶ συλλειτουργοῦμεν, κοινῆι πάντες τὰς συνάξεις
ἐπιτελοῦντες, ἀκυρώσαντες ἐγγράφως τὰ ἐκείνων παίγνια ἀνίσχυρά τε καὶ ἀδρανῆ παντελῶς
ἀποφήναντες. ὕβρις γὰρ ἦν μόνη καὶ ἕτερον οὐδέν. ἄνδρες γὰρ τὸν ἀριθμὸν τριά-

VM, P [= hk], S, D [= mn], AJΛtΛcΛu

1 αὐτῶν V 2 καὶ om. A γράψαντες Λ 3 εὐσεβεστάτων VMPΛ θεοφιλεστάτων SDAJ τὰ τοιάδε] τάδε M 4 ἁγιώτατος καὶ om. M θεοφιλέστατοσ MSDAJΛc θεοσεβέστατοσ VPΛtu 5 θεοσεβέστατοσ MSDAJΛ θεοφιλέστατοσ VP 6 ἐπίσκοπον VMΛ om. P ἐπίσκοπον τῆσ ἀντιοχέων SDAJ 7 ἡμᾶσ S μεταπέμψασθαι] ἐπισκέψασθαι S 10 ἔθηκαν VMP ἀπολλιναριασταὶ S ἀπολιναρισταὶ P 12 τὴν² om. SDAJ ἡμῖν P 15 ὑβριζομένουσ P καὶ τὰσ αἰτίασ SDAJΛ τὰσ αἰτίασ καὶ P τὰσ αἰτίασ VM 16 ἐθάρρησαν P *praesumpsit* Λ ἠθέλησαν DAJ ἠθέλησεν S ἔδει] ἔδειξε S δὲ] *namque* Λc αὐτοὺσ DAJ 17 ἠδύναντο DAJ ὡς om. S αἱρετικοὺσ ὄντασ VMP αἱρετικοὺσ S 18 ἀπαντῆσαι P ὑπαντῆσαι VMSDAJ 18 ὄν om. SDAJ 19 κατ'] παρ' A οὐχ ὑπήντησε VM 20 ἐκνομωτάτου V ἐννομωτάτησ S 21 ψῆφοσ τῆσ συνόδου VMP 22 τὴν] τὸ V 23 κατά τε DAJΛ κατά γε S κατ' VMP ἐνόμωσ P ὁμοίως SDJ καὶ αὐτὸσ J παρανόμως om. DAJ 25 εἰ om. V 27 μηδένα SDAJΛ μὴ VMP 28 χαίρειν DJ 29 πραγμάτων SAΛ πεπραγμένων VMP om. DJ ἦν] οὖν S ἔχοντας Λtu 30 Κυρίλλωι Λ κυρίλλω τῶ ἐπισκόπω SDAJ κυρίλλω τε τῶ ἐπισκόπω VM κυρίλλω τε P 31 Μέμνονι] μέμνονι τοῖσ ἐπισκόποισ P τὴν om. VMP καὶ om. SDAJ κοινωνοὶ SDAJ 32 τὰς om. VMP 34 ἦν — οὐδέν SDAJΛ μόνη καὶ — οὐδὲν ἦσαν VMP ἀριθμὸν ἦσαν MP

κοντα, καὶ οἵ μὲν αἱρέσεως σπίλωι κατεστιγμένοι, οἵ δὲ ἀπόλιδες καὶ ἐκβεβλημένοι, ποῖον ἔχουσι συνόδου πρόσωπον ἢ ποίαν ἰσχὺν κατὰ συνόδου συγκροτηθείσης ἐξ ἁπάσης τῆς ὑπ' οὐρανόν; συνήδρευσαν γὰρ ἡμῖν καὶ οἱ παρὰ τῆς σῆς ὁσιότητος ἀπεσταλμένοι θεοσεβέστατοι ἐπίσκοποι Ἀρκάδιος καὶ Προίεκτος καὶ σὺν αὐτοῖς ὁ εὐλαβέστατος πρεσβύτερος M IIII 133 Φίλιππος, τὴν σὴν ἡμῖν παρουσίαν δι' ἑαυτῶν χαριζόμενοι καὶ τῆς ἀποστολικῆς καθέδρας

12 τὸν τόπον ἀναπληροῦντες. ἀγανακτησάτω τοίνυν προσφόρως ἐπὶ τοῖς γεγενημένοις ἡ σὴ ὁσιότης. εἰ γὰρ δοθείη τοῖς ἐθέλουσιν ἄδεια καὶ τοὺς μείζονας ὑβρίζειν θρόνους καὶ καθ' ὧν οὐκ ἔχουσιν ἐξουσίαν, παρανόμους οὕτω καὶ ἀκανονίστους ἐκφέρειν ψήφους, μᾶλλον δὲ ὕβρεις καὶ τοῖς ὑπὲρ τῆς εὐσεβείας τοσούτους ἄθλους ὑπομεμενηκόσιν, ὧν ἕνεκεν καὶ νῦν ἡ εὐσέβεια διὰ τῶν εὐχῶν τῆς σῆς ὁσιότητος ἀνέλαμψεν, οἰχήσεται πρὸς ἐσχάτην ἀταξίαν τὰ τῆς ἐκκλησίας πράγματα, σωφρονισθέντων δὲ καθ' ὃν προσήκει τρόπον τῶν τὰ τοιαῦτα τετολμηκότων ἀργήσει πᾶς θόρυβος καὶ ἡ πρέπουσα τοῖς κανόσιν αἰδὼς παρὰ πάντων σωθήσεται.

13 Ἀναγνωσθέντων δὲ ἐν τῆι ἁγίαι συνόδωι τῶν ὑπομνημάτων τῶν πεπραγμένων ἐπὶ τῆι καθαιρέσει τῶν ἀνοσίων Πελαγιανῶν καὶ Κελεστιανῶν, Κελεστίου Πελαγίου Ἰουλιανοῦ Περσιδίου Φλώρου Μαρκελλίνου Ὀρεντίου καὶ τῶν τὰ αὐτὰ τούτοις φρονούντων, ἐδικαιώσαμεν καὶ ἡμεῖς ἰσχυρὰ καὶ βέβαια μένειν τὰ ἐπ' αὐτοῖς ὡρισμένα παρὰ τῆς σῆς θεοσε- I. III 668 βείας καὶ σύμψηφοι πάντες ἐσμὲν καθῃρημένους ἔχοντες αὐτούς. ὑπὲρ δὲ ἀκριβοῦς εὐμαθείας ἁπάντων τῶν πεπραγμένων ἀπεστείλαμεν καὶ τὰ ὑπομνήματα καὶ τὰς ὑπογραφὰς τῆς συνόδου.

Ἐρρῶσθαί σε καὶ μνημονεύειν ἡμῶν τῶι κυρίωι εὐχόμεθα, ἀγαπητὲ καὶ ποθεινότατε.

**83** = S 52. Latina uersio extat in Collectione CT 34

Ἴσον βασιλικοῦ γράμματος ἀποσταλέντος ἐν Ἐφέσωι πρὸς τὴν ἁγίαν σύνοδον διὰ Παλλαδίου μαγιστριανοῦ I. III 704 M IIII 1377

Αὐτοκράτορες Καίσαρες Θεοδόσιος καὶ Οὐαλεντινιανὸς νικηταὶ τροπαιοῦχοι μέγιστοι ἀεισέβαστοι αὔγουστοι τῆι κατ' Ἔφεσον ἁγιωτάτηι συνόδωι. Τοῦ μεγαλοπρεπεστάτου κόμητος τῶν καθωσιωμένων δομεστίκων Κανδιδιανοῦ γνωρίσαντος μεμάθηκεν ἡ ἡμετέρα εὐσέβεια ταραχωδῶς τινὰ καὶ παρὰ τὸ προσῆκον κατὰ τὴν Ἐφεσίων γεγονέναι μητρόπολιν, οὔτε πάντων, ὥσπερ ἐδέδοκτο, τῶν θεοσεβεστάτων ἐπισκόπων συνεληλυθότων, καίτοι τοῦ τῆς μεγαλοπόλεως Ἀντιοχείας ἐπισκόπου πλησιάζειν ἤδη σὺν ἑτέροις μητροπολίταις μέλλοντος, οὔτε τῶν ἤδη παραγεγονότων συσκεψαμένων ἢ ὁμονοησάντων ἀλλήλοις οὔτε μὴν τὰ περὶ τῆς πίστεως καθ' ὃν ἐχρῆν τρόπον ἐξετασάντων ἢ ὥσπερ τοῖς ἀεὶ καταπεμφθεῖσι θείοις

---

26/27 Cf. Coll. C 86a [uol. IIII p. 33, 29]

---

VM, P [= hk], S, D [= mn], AJΛtΛcΛu

1 ποῖον οὖν P 3 ὑπὸ τὸν SA τῆσ ὁσιότητοσ τῆσ σῆσ VP 8 οὐκ om V παρανόμωσ S καὶ om. S 9 τοιούτουσ A 15 καὶ Κελεστιανῶν om. SDAJ 16 *Praesidii* Λ φρώρου A *Marcelliani* Λ ταὐτὰ P ταῦτα M 17 ἐπ' αὐτοῖσ τὰ DAJ 18 καὶ om. S 19 εὐμαθίασ V συμπαθείασ A ἁπάντων S 19—21 ἀπεστείλαμεν — ἡμῶν post ποθεινότατε coll. S 19 καὶ[1] om. S αἱ ὑπογραφαὶ A 21 σε om. MP in fine add *subscripserunt uero* [*uero* om. Λtu] *et deinceps* [*deinceps om.* Λu] *omnes episcopi secundum nomen* Λtcu

VM, P [= hk], S, D [= mn], WΛtΛc

πγ V οδ P ξς M νβ SD 23 ἀποσταλὲν SDW πρὸς — σύνοδον om DA 24 post μαγιστριανοῦ add. ἀνατρέποντοσ [ἀνατρέπων D] τὰ παρ' αὐτῶν πραχθέντα ὡς ὀφειλούσης ἄνωθεν γενέσθαι ζητήσεωσ SDW 25 καὶ om. W οὐαλεντιανὸς D 26 αὔγουστοι SDW om. VMPA ἁγία D 27 γνωρίσαντοσ SDWA γνωρίσαντος ἡμῖν VMP 28 παρὰ VMWA μὴ κατὰ PSD 29 θεοφιλεστάτων D 30 μεγάλης πόλεως P 31 σκεψαμένων VMP 32 ἔχει D ἀεὶ καταπεμφθεῖσι MPSDWA ἐγκαταπεμφθεῖσι V θείοις om. S

ἡμῶν περιείχετο γράμμασιν, ἀλλὰ ὥστε δήλην εἶναι τὴν τινῶν πρὸς τινὰς ἀπέχθειαν διὰ πολλὴν τὴν περὶ τὰ ὁπωσοῦν δόξαντα σπουδὴν οὐδὲ παρακαλύμματι χρήσασθαι δυνηθέντων, δι' ὃ νομίσειέν ἄν τις λογισμῶι τὰ γεγονότα πεπρᾶχθαι. ὅθεν δέδοκται τῆι ἡμετέραι θειότητι χώραν μὲν τὴν τοιαύτην μηδαμῶς ἔχειν αὐθεντίαν, τῶν δὲ ἀνακολούθως γεγονότων ἀργούντων τοὺς περὶ τῆς εὐσεβείας λόγους, ὥσπερ ἐδέδοκτο, πρώτως ἐξετασθῆναι καὶ κατὰ
M IIII 1380 τὸ κοινῆι πάσηι τῆι συνόδωι δοκοῦν εἰς τὸν ἑξῆς χρόνον κρατεῖν, οὐκ ἀνεχομένης τῆς ἡμε-
L III 705 τέρας εὐσεβείας τῶν ἐξ ἐπιτηδεύσεως προλημμάτων, οὔτω δὲ ἐπὶ τοῖς γεγονόσιν ἀγανακτούσης, ὥστε κελεύειν μέχρις ἂν καὶ παρὰ πάσης τῆς συνόδου τὰ τῆς εὐσεβείας ἐξετασθῆι δόγματα καὶ ἀποσταλῆι τις ἐκ τοῦ θείου ἡμῶν παλατίου ἅμα τῶι μεγαλοπρεπεστάτωι Κανδιδιανῶι τῶι κόμητι τὰ πεπραγμένα κατὰ κέλευσιν ἡμετέραν εἰσόμενος καὶ κωλύσων τὰ ἀνακόλουθα, μήτε ἀποστῆναί τινα τῶν συνειλεγμένων ἐπισκόπων τῆς Ἐφεσίων πόλεως μήτε μὴν ἐπὶ τὸ θεῖον ἡμῶν ἐλθεῖν στρατόπεδον ἢ ἐπὶ τὴν ἑαυτοῦ πατρίδα ἀναστρέψαι. ὥστε γὰρ μηδενὶ τοῦτο ἐξεῖναι μηδὲ ἐλπίζειν ἀδεῶς προβήσεσθαι, ἱκανὰ μὲν καὶ ταῦτά ἐστι τῆι ὑμετέραι θεοσεβείαι παρεγγυῆσαι τὰ γράμματα, μήτι καὶ ἕτερον παρὰ τὴν ἡμετέραν κέλευσιν τοῖς γεγονόσι προσθεῖναι· ἴστω δὲ ἡ ἁγιότης ὑμῶν ὡς καὶ τοῖς λαμπροτάτοις ἄρχουσι τῶν ἐπαρχιῶν ἐπέσταλται μηδένα παντελῶς ἐᾶσαι εἰς τὴν ἑαυτοῦ πατρίδα καὶ πόλιν δίχα ἡμετέρας κελεύσεως ὑποστρέψαντα δεχθῆναι. χρὴ γὰρ πάντα κατὰ τὸ τῶι θεῶι μέλλον ἀρέσειν δίχα φιλονεικίας καὶ μετὰ ἀληθείας ἐξετασθέντα οὔτω παρὰ τῆς ἡμετέρας εὐσεβείας βεβαιωθῆναι, ὡς οὐχ ὑπὲρ ἀνθρώπων νῦν οὐδὲ μέντοι τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Νεστορίου ἢ ἑτέρου τινός; ὑπὲρ δὲ αὐτοῦ τοῦ δόγματος καὶ τῆς ἀληθείας αὐτῆς φροντίδα ποιουμένης τῆς ἡμετέρας θειότητος.

d. 29. m. Iun. a. 431 Ἐδόθη τῆι πρὸ τριῶν Καλανδῶν Ἰουλίων ὑπατείαι Φλαυίου Ἀντιόχου καὶ τοῦ δηλωθησομένου.

## 84 = S 53. Latina uersio extat in Collectione CT 38

L III 745 M IIII 1421 d. 1. m. Iul. a. 431

Ἴσον ἀναφορᾶς τῆς ἁγίας συνόδου ἀποσταλείσης διὰ Παλλαδίου μαγιστριανοῦ Καλανδῶν Ἰουλίων Ἐπιφὶ ζ' ἰνδικτιῶνος ιε'

1 Τοῖς εὐσεβεστάτοις καὶ θεοφιλεστάτοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι νικηταῖς τροπαιούχοις ἀεὶ αὐγούστοις ἡ ἁγία σύνοδος ἡ χάριτι θεοῦ καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῆι Ἐφεσίων μητροπόλει. Τὸ μὲν ὑμέτερον κράτος τὴν εὐσέβειαν βεβαιῶσαι βουλόμενον ἐπέταξε τῆι ἁγίαι συνόδωι ζήτησιν περὶ τῶν δογμάτων ποιήσασθαι σπουδαιοτέραν, ἣν καὶ πεποιήμεθα καὶ τῆι ἀρχαίαι παραδόσει τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν πειθόμενοι καὶ τῆι τῶν τιη̅ συναχθέντων ἐπὶ τῆς Νικαίας, ἣν καὶ ἑρμηνεύσαντες συμφώνως καὶ γνώμηι μιᾶι

---

VM, P [= hk], S, D [= mn], W ΛtΛc

1 γράμμασι περιείχετο P   ἄλλωσ τε SW   2 οὔτε VMP   4 ἔχειν ἐξελθεῖν VMP αὐθεντίαν VMPSWΛ ἀκολουθίαν D   5 πρώτως VP πρώτουσ M πρῶτον W *prima* Λc πρότερον SDΛt 7 πλημμελημάτων MP   9 θείου om. S θειοτάτου W   ἡμῶν om. SDW   10 τὴν ἡμετέραν D 11 ἀκόλουθα P   μὴ δέ VMPSDW   τινα om. MP   12 ἡμῶν om. D   ἐπιστρέψαι P 13 ταῦτα SD   μήτε SDW   προσβήσεσθαι W   μὲν οὖν D   14 εὐσεβεία D   17 χρῆναι Λc   γὰρ om. V   τὸ om. W   τῶι om. P   18 ἀρέσαι S   ἀλήθειαν M 18/19 ὑμετέρας P   19 ἁγιωτάτου καὶ om. M   20 θεοσεβεστάτου V   ἐπισκόπου νεστορίου VMDW νεστορίου ἐπισκόπου P νεστορίου S   22 ἐδόθη om. MP   δέκα τριῶν S ιγ' D   ὑπάτου V φλαβίου VPW

25—27 Ἴσον — ιε' VMP ἀναφορὰ τῆς συνόδου ἀντιγραφεῖσα [ἀντίγμαφοσ W] πρὸς τὴν σdκραν καὶ [καὶ om. W] διδάσκουσα ὡσ ψευδῆ τὰ ἀνενεχθέντα παρὰ τοῦ κανδιδιανοῦ ἐστίν initio posita Wn post 29 μητροπόλει collocata Sm om. Λ   πδ̅ V οε̅ P νγ̅ SD   26 ἐπιφὶ ζ' VM ἐπὶ P   πεντεκαιδεκάτησ P   27 οὐαλεντιανῷ D   28 Χριστοῦ Λt   30 βουλόμενον om. S   31 ἁγίων ἀποστόλων Λ ἀποστόλων VMP πατέρων οὐ μὴν δὲ ἀλλὰ καὶ τῶν [τῆ τῶν S] ἁγίων ἀποστόλων SDW 32 τῆι om. nW   τριακοσίων δεκαοκτὼ VPD   Νικαίας] ἐν νικαία P

ἐμφανῆ τῆι ὑμετέραι εὐσεβείαι κατεστήσαμεν ἐν αὐτοῖς τοῖς ὑπομνήμασι τοῖς πεπραγμένοις, ἐν
οἷς καὶ Νεστόριον ἕτερα φρονοῦντα ἐναργῶς εὑρηκότες καθείλομεν. οὐδὲ γὰρ ἐν τῆι Ἐφε- L III 748
σίων μητροπόλει τὸ ἑαυτοῦ ἔκρυψε φρόνημα, ἵνα ἐλέγχων ἑτέρων δεηθῆι, ἀλλ' ἀνεβόα καθ'
ἑκάστην ἡμέραν τὰ ἀλλότρια τῆς πίστεως κηρύττων πρὸς πλείονας δόγματα, καὶ ἕκαστα
κατὰ μέρος ἐν τοῖς πεπραγμένοις ὑπομνήμασι δῆλα κατεστήσαμεν τῆι ὑμῶν εὐσεβείαι.
2 ἀλλ' ἐπειδὴ τὴν φιλίαν Νεστορίου τῆς εὐσεβείας προτιμῶν ὁ μεγαλοπρεπέστατος κόμης
Κανδιδιανὸς ὑφαρπάσαι τὴν ἀκοὴν τῆς ὑμετέρας εὐσεβείας ἐσπούδασε πρὶν καταμαθεῖν ἀκριβῶς
τὰ πεπραγμένα τὸ ὑμέτερον κράτος, πρὶν δέξασθαι τὰ ὑπομνήματα, πρὶν ἐπιστῆσαι τοῖς
γεγενημένοις, ἐσπούδασεν αὐτὸς τὰ αὐτῶι φίλα καὶ κεχαρισμένα Νεστορίωι ἀναδιδάξαι τὴν
ὑμετέραν εὐσέβειαν πρὶν γνῶναι τὸ ὑμῶν κράτος τὸ ἀληθὲς ἐκ τῆς τῶν πραχθέντων ὑπο-
μνημάτων ἀναγνώσεως, ἐν οἷς δεικνύμεθα οὐδεμίαν κατὰ Νεστορίου δυσμένειαν γυμνάζοντες, M IIII 1424
ἀλλ' αὐτὰ τῆς εὐσεβείας ἐκθέμενοι τὰ δόγματα, οἷς παραβαλόντες τὰ ὑπὸ Νεστορίου κη-
ρυττόμενα, ἔχοντα τὸν ἔλεγχον ἐκ τῶν γραμμάτων Νεστορίου ἐπιστολῶν τε καὶ τῶν ἐν
δημοσίωι γενομένων διαλέξεων, τὴν ψῆφον ἐξηνέγκαμεν, τοῦ ἁγίου εὐαγγελίου ἐν μέσωι
κειμένου καὶ δεικνύντος ἡμῖν παρόντα τὸν τῶν ὅλων δεσπότην Χριστόν· δεόμεθα τοίνυν
τοῦ ὑμετέρου κράτους μηδένα παραδοχῆς ἀξιωθῆναι τῶν προτιμώντων ἀνθρώπου φιλίαν τῆς
3 εὐσεβείας. καὶ γὰρ τοιαύτης αἰσθόμενοι τῆς διαθέσεως τοῦ θεοφιλεστάτου ἐπισκόπου
Ἰωάννου τοῦ Ἀντιοχείας ὡς βουλομένου φιλίαι χαρίζεσθαι μᾶλλον ἢ τὸ συμφέρον τῆι πίστει
σκοπεῖν, ἐξ ὧν μήτε τὴν τοῦ ὑμετέρου κράτους ἀπειλὴν φοβηθεὶς μήτε τῶι ζήλωι κινού-
μενος τῆς ἄνωθεν παραδεδομένης πίστεως τὴν ἁγίαν ἀνεβάλλετο συνόδον ἐπὶ εἴκοσι καὶ
μίαν ἡμέραν μετὰ τὴν δεδομένην προθεσμίαν παρὰ τοῦ ὑμετέρου κράτους, ἠναγκάσθημεν
ἅπαντες οἱ τῆς ἁγίας συνόδου ὀρθόδοξοι καὶ μόνης ἐρῶντες τῆς πίστεως ζητῆσαι τὰ περὶ
τῆς εὐσεβείας, τοῦτο πεπονθέναι καὶ τὸν θεοφιλέστατον ἐπίσκοπον Ἰωάννην ὑπολαβόντες
ὅπερ δείκνυται πεπονθὼς καὶ ὁ μεγαλοπρεπέστατος κόμης Κανδιδιανός. οὐ γὰρ πάντων
ἐστὶ τῆς πρὸς τοὺς ἀνθρώπους φιλίας προτιμᾶν τὴν εὐσέβειαν. ἦν δ' ἄρα ἡ περὶ τοῦ
θεοφιλεστάτου ἐπισκόπου Ἰωάννου ὑπόνοια ἡμῶν οὐκ εἰκαία οὐδὲ μάταιος· ἐλθὼν γὰρ δῆλον
ἑαυτὸν ἐποίησε τῆι ἁγίαι σύνοδωι ὡς τὰ Νεστορίου φρονεῖ εἴτε φιλίαι χαριζόμενος εἴτε
4 κοινωνῶν τῆι πλάνηι τοῦ δόγματος ἐκείνου. ἀλλ' ἐπειδὴ σαφῶς τὰ πεπραγμένα γνωρίζειν
τῶι ὑμετέρωι κράτει κωλυόμεθα, ὡς ἔφημεν, τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ
ἡμᾶς μὲν κωλύοντος γνωρίζειν τὰ κατὰ τὸν εὐσεβῆ λόγον πεπραγμένα, πᾶσαν δὲ σπουδὴν
νέμοντος Νεστορίωι, δεόμεθα τοῦ ὑμετέρου κράτους ὑπὲρ τοῦ γνωσθῆναι τὴν κατὰ θεὸν
σπουδὴν τῆς ἁγίας συνόδου μετασταλῆναι τὸν μεγαλοπρέπεστατον Κανδιδιανὸν καὶ πέντε τῆς
ἁγίας συνόδου συστησομένους τοῖς πεπραγμένοις ἐπὶ τῆς ὑμῶν εὐσεβείας. δεινοὶ γὰρ
εἰσιν οἱ ἕτερα παρὰ τὴν ὀρθὴν πίστιν φρονοῦντες συσκιάζειν τὴν πλάνην, ὡς καὶ τινὰς
τῶν ἁγιωτάτων ἐπισκόπων κρυπτομένης μὲν τῆς πλάνης παρὰ Νεστορίου δελεασθῆναι καὶ L III 749

VM, P [= hk], S, D [= mn], WΛtΛc

1 ὑπομνήμασι — πεπραγμένοις] τοῖσ πεπραγμένοισ ὑπομνήμασιν P   2 καθείλαμεν D   3 ἵν' D ἀλλὰ MP   6 κόμης om. P   8 ἐπιστῆναι D   9 γεγραμμένοισ P λεγομένοισ S   10 ὑμέτερον VP   πεπραγμένων S   12 τὰ αὐτὰ — ἐκθέμενοι δόγματα MP   παραβάλλοντεσ SD παραλαβόντεσ M   12/13 κηρυττομένου S   13 νεστορίου VMPΛ αὐτοῦ SDW   14 δημοσίᾳ PW   γινομένων M γεγενημένων W   15 δεσπότην τῶν ὅλων VMP   16 τὴν ἀνθρώπου SDW φιλανθρωπίαν S   17 αἰσθανόμενοι D   18 τοῦ VM τοῦ τῆσ SW τῆσ D om. P   φίλα W 19 τὴν om. VMP   20 τῆσ θεοφιλοῦσ πίστεωσ τῆσ ἄνωθεν παραδεδομένησ V   ἀνεβάλετο VW 21 καὶ ἠναγκάσθημεν VMP   22 τῆ ἁγία συνόδω D   23 ἐπίσκονον om. P   24 ἁπάντων MP 25 τοὺς om. W   26 Ἰωάννου om. V   27 φρονῶν D   28 κοινωνῶν — πλάνη SDWΛ κοινωνὸσ ὢν τῆσ πλάνησ VMP   ἐκείνου SDΛ ἐκείνω VMPW   30 τὴν σπουδὴν SD   32 μετασταλῆναι WΛ μετασταλῆναί τε SD καὶ μετασταλῆναι μὲν VMP   33 συστησομένουσ DΛ συστησομένου S συστησομένοισ W συστησαμένουσ V συστημένουσ M συστησαμένου P   ἡμῶν P ἁγίασ ὑμῶν S   33/34 εὐσεβείας — φρονοῦντες om. P   34 ὀρθὴν] εὐσεβῆ M   35 μὲν VMPΛ om. SDW   παρὰ om. W

προσθέσθαι αὐτῶι τοῖς τε ὑπ᾽ αὐτοῦ πραττομένοις ὑπογράψαι, ἐπειδὴ δὲ σαφῶς ἐρωτήσαντες αὐτὸν εὗρον ἀνακαλύπτοντα ἑαυτοῦ τὰς βλασφημίας, ἀποστάντες ἐκείνου τῆι ἁγίαι προσῆλθον συνόδωι, αὐτὴν τὴν βλασφημίαν αὐτοῦ δήλην καταστήσαντες καὶ μεθ᾽ ἡμῶν καταψηφισάμενοι τοῦ μνημονευθέντος Νεστορίου, ὡς ἀπολειφθῆναι παρὰ Νεστορίωι καὶ τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἰωάννηι τῶι Ἀντιοχείας τριάκοντα καὶ ἑπτὰ μικρῶι πρός (ὧν οἱ πλείους ὑπεύθυνοι ὄντες αἰτίαις καὶ τὴν ψῆφον δεδιότες τῆς ἁγίας συνόδου, ὡς ἔφημεν, προσέθεντο Νεστορίωι, ὧν καὶ τὰς προσηγορίας ἀπεστείλαμεν τῶι ὑμετέρωι κράτει), τοὺς
M IIII 1425 μὲν ἐπὶ δογμάτων διαστροφῆι ὡς Πελαγιαν ύς τε ὄντας καὶ ἐναντία τῆς εὐσεβείας φρονήσαντας, τοὺς δὲ καθηιρημένους ἤδη πρὸ πλειόνων ἐνιαυτῶν, τοὺς δὲ ἐφ᾽ ἑτέραις αἰτιάσεσι πονηραῖς ὀφείλοντας μετὰ τὸν ἔλεγχον τὸ ἐπιτίμιον δέξασθαι παρὰ τῆς συνόδου ἐχούσης πάντας τοὺς τῆς οἰκουμένης ἁγιωτάτους ἐπισκόπους ἓν καὶ τὸ αὐτὸ φρονήσαντας διὰ τὸ καὶ τὸν τῆς μεγάλης Ῥώμης συμπαρεῖναι τῆι συνόδωι καὶ τοὺς τῆς Ἀφρικῆς διὰ τοῦ θεοσεβεστάτου καὶ ἀρχιεπισκόπου Κυρίλλου, ὧι καὶ τὴν ἑαυτῶν γνώμην ἑνώσαντες, κεχωρισμένοι μόνωι τῶι τόπωι, τῆι αὐτοῦ τε καὶ ἁπάντων ἡμῶν ψήφωι συνήινεσαν. οὐδὲ γὰρ ἂν συνῆλθε Νεστορίωι τις καὶ τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἰωάννηι τῶν θεοφιλεστάτων ἐπισκόπων, εἰ μὴ αὐτός τε δεινὸς ἦν σχήμασι λόγων ἐπικαλύπτειν ἑαυτοῦ τὴν δυσσέβειαν οἵ τε νῦν σὺν αὐτῶι ὄντες ἐδεδοίκεσαν τὸ παρὰ τῆς ἁγίας συνόδου μέλλον ἐπ᾽ αὐτοῖς ὁρίζεσθαι
5 ἐπιτίμιον. ἡμεῖς δὲ συσχεθέντες δι᾽ ὀλίγων ἀντιγράψαι τῶι ὑμετέρωι κράτει τὸ πλάτος ὧν πεπόνθαμεν καὶ παρὰ τοῦ μεγαλοπρεπεστάτου κόμητος Εἰρηναίου, οὐ δεδυνήμεθα τοῦ πᾶσαν διαταράξαντος τὴν ἁγίαν σύνοδον καὶ φόβον ἐπικρεμάσαντος τοῖς ἁγιωτάτοις ἐπισκόποις διὰ θορύβων τινῶν καὶ τῆς ἔξω περιδρομῆς, ὡς καὶ τοὺς πλείονας ἡμῶν περὶ αὐτοῦ κινδυνεύειν τοῦ ζῆν, ἀλλὰ κατὰ μέρος ἀναδιδάξομεν τὸ ὑμέτερον κράτος, εἴπερ ἡμῖν ὃ ἠιτήσαμεν, παρασχεθείη παρὰ τῆς ὑμετέρας εὐσεβείας καὶ παραγενόμενοι πέντε τῆς ἁγίας συνόδου τὰ καθ᾽ ἕκαστον τετυπωμένα τὸ ὑμέτερον ἀναδιδαξάτωσαν κράτος. καὶ οἱ μὲν συνεδρεύσαντες καὶ κανονικὴν ἐξενέγκαντες κατὰ τοῦ αἱρετικοῦ Νεστορίου τὴν ψῆφον τῆς καθαιρέσεως ἐσμὲν ὑπὲρ τοὺς διακοσίους, ἐξ ἁπάσης τῆς οἰκουμένης συνειλεγμένοι, συμψηφιζομένης ἡμῖν καὶ πάσης τῆς Δύσεως· ὑπεγράψαμεν δὲ ὀλίγοι τῆιδε τῆι ἀναφορᾶι, παρόντων πάντων καὶ συναινούντων, τῶι μάλιστα κατεπείγεσθαι τὸν καθωσιωμένον μαγιστριανὸν Παλλάδιον καὶ μὴ περιμένειν τὸ βράδος τῆς πάντων ὑπογραφῆς.

Ὁ θεὸς ὁ ἐπὶ πάντων τὴν βασιλείαν ὑμῶν πολλαῖς ἐτῶν περιόδοις διαφυλάττοι, εὐσεβέστατοι νικηταὶ ἀεὶ αὔγουστοι.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων ὑπέγραψα.

6 Καὶ ἔστι τὰ ὀνόματα οὕτως· Ἰωάννης Ἀντιοχείας Συρίας, [2] Ἰουλιανὸς [3] Μακάριος [4] Διο-

33 sq. ad hunc catalogum quam proxime accedit ille XXXVI episcoporum qui inest uersioni latinae epistulae canonicae, quae extat in Collectione C 311 [uol. IIII p. 242]

VM, P [= hk], S, D [= mn], W [usque ad. 31], Λ[ic]

1 προθέσθαι M θέσθαι in προθέσθαι corr. W 2 βλασφημίας] πλημμελείασ M 3 καταστήσοντεσ W ποιήσαντεσ V 4 καταψηφισόμενοι W παρὰ om. P 6 αἰτίαν M 9 καθηιρημένους — τοὺς δὲ om. M πολλῶν VP αἰτιάσεσι SDWΛ αἰτίαισ VMP 10 τὸ ἐπιτίμιον τῆσ οἰκουμένησ SDW τῆσ ἁγιωτάτησ SDW τῆς ἁγίας Λ 11 τῆς οἰκουμένης om. SDW 12/13 εὐσεβεστάτου P 13 καὶ om. MSDW ἀρχιεπισκόπου om. M 13 ὧι] οἳ P 14 τῶι om. P πάντων VMP 16 σχήμασι VMP ἐν σχήμασι SD ἐν σχήματι W *sub schemate* Λ λόγων SDWΛ λογισμῶν VMP 17 ἐδεδοίκησαν VP 18 γράψαι V 20 ἐκκρεμάσαντοσ W 21 ἐπιδρομῆσ V περὶ, superscr. παρὰ V 22 τὰ κατὰ PD καὶ κατὰ Λ *uestram serenitatem* Λ 22. 24 ἡμέτερον S 24 ἀναδιδαξάτωσαν VMP *doceant* Λ ἀναδιδάξομεν SDW scribendum ἀναδιδάξειαν, nisi locus ut multi alii huius relationis, propter festinationem male redactus esse uideretur 25 καὶ om. SDW ἐξενεγκόντεσ SDW 28/29 τὸν μαγιστριανὸν τὸν καθωσιωμένον W 29 παραμένειν D τὸ om. VP πάντων om. VS 30/31 ter habet Λ 32—p. 13, 7 om. W 33 ἔστι καὶ P *nomina eorum contra quos scriptum est* Λ nominum

γένης [5]Ἀλέξανδρος [6]Πλάκων [7]Ἀπρίγγιος [8]Θεοδώρητος [9]Ἀλέξανδρος [10]Μελέτιος [11]Ἡλιάδης [13]Παῦλος [13]Ἰωάννης [14]Μαρκελλῖνος [15]Μουσαῖος [16]Μαξιμῖνος [17]Ἑλλάδιος ⟨[18]Δεξιανὸς [19]Ἑλλάδιος⟩ [20]Ἀστέριος [21]Γερόντιος [22]Δωρόθεος [23]Ἀντίοχος [24]Ζεβινᾶς [25]Ἰάκωβος [26]Φριτίλας [27]Πέτρος [28]Θεοσέβιος [29]Ἱμέριος [30]Ἀναστάσιος [31]Εὐθήριος [32]Βασίλειος [33]Τραγκυλῖνος. οὗτοι μόνοι κοινωνοὶ τῶν ἀσεβῶν δογμάτων Νεστορίου περιιόντες κατὰ τὴν πόλιν θορύβους καὶ στάσεις κινοῦσι χειροτονίας ἐπαγγελλόμενοι, ὡς πάντας τοὺς ἐν τῆι πόλει ὀρθοδόξους ὄντας καὶ τὸν περὶ τούτου φόβον ὑποπτεύοντας κωλύειν αὐτοὺς τῆς ἀτόπου ἐπιχειρήσεως. I III 752

85 = S 50. Latina uersio extat in Collectione CT 36

Ἐπιστολὴ γραφεῖσα παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Κωνσταντινουπόλεως περὶ τῆς καθαιρέσεως Νεστορίου L III 633 M IIII 1304

Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος ἡ χάριτι θεοῦ συναχθεῖσα ἐν τῆι Ἐφεσίων μητροπόλει τοῖς θεοσεβεστάτοις καὶ εὐλαβεστάτοις συμπρεσβυτέροις καὶ συνδιακόνοις καὶ παντὶ τῶι κλήρωι καὶ τῶι λαῶι τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας τῆς ἐν Κωνσταντινουπόλει ἐν κυρίωι χαίρειν. Ἐπὶ τὸ πολυστένακτον ἤλθομεν μήνυμα, πρότερον μὲν ἐπὶ τῶι γεγονότι δακρύσαντες, ὑπὸ δὲ τῆς ἀνάγκης αὐτῆς καὶ τοῦ μὴ πολλοὺς ἁλῶναι τῶι τῆς ἀσεβείας λοιμῶι ἐκκόψαι τὸν αἴτιον τῆς νόσου ταύτης. πέπαυται γὰρ τῆς ἱερωσύνης Νεστόριος πάρεργον τῆς ἑαυτοῦ ἀσεβείας γενόμενος, ἧς μάρτυρες ὑμεῖς ἐκ τῶν πρὸς ὑμᾶς τολμηθεισῶν πολλάκις παρ' αὐτοῦ διαλέξεων, προσθήκη δὲ τῶν κακῶν καὶ ἡ ἐνταῦθα βλασφημία. οὔτε γὰρ ἡ ἐπαγγελθεῖσα ἁγία σύνοδος οὔτε τὸ πλῆθος τῶν ἐν εὐσεβείαι συνειλεγμένων ἐπέσχεν αὐτὸν τῆς ὁρμῆς, ἀλλὰ προσέθηκε βλασφημίας χαλεπωτέρας, διμηνιαῖον καὶ γαλακτοτροφηθέντα μὴ ἂν ἑλέσθαι προσκυνεῖν καὶ τὸν εἰς Αἴγυπτον φυγόντα μὴ ὀνομάζειν θεόν, ὡς ἐντεῦθεν πᾶσαν τὴν δι' ἡμᾶς παρὰ τοῦ σωτῆρος γενομένην οἰκονομίαν μικροῦ γενέσθαι τοῖς ἁπλουστέροις ἀμφίβολον. τῆς δὲ ὑμετέρας εὐχῆς γενέσθω ἔργον ἐπιτεταμένως ἐπιτελουμένης πρὸς θεὸν τὸν ἄξιον τοῦ θρόνου καὶ τῆς μεγαλοπόλεως ἀναδειχθῆναι τὸν ἐπισκοπήσειν τὰ ὑμέτερα μέλλοντα. τῆς γὰρ βασιλευούσης εὐσεβῶς ἰθυνομένης πόλεως, κοινὸν ταῖς ἁπανταχοῦ ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις τὸ κέρδος γίνεται.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας ἐρρῶσθαι ὑμᾶς ἐν κυρίωι εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι

Φίλιππος πρεσβύτερος ἐκκλησίας ἀποστόλων

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων

---

VM, P [= hk], S, DΛtΛc

ordinem exhibui secundum SD, antiquissimus, in columnis dispositus et numeris signatus extat in Λ, ita se habens 1 3 2 5 4 7 6 9 8 11. 10. 13 12 15 14 17. 16 19 18. 21 20 23 22 25 24 27 26 29 28 31. 30 33 32, VMP ita disponunt 1 3 17. 2 33 5 16 4 19 7. 18 6. 21 9 20 8 23 11 [11 om. V] 22 10 25 [25 om V]. 13 24. 12 27 [27 12 M] 15 26 14 29 28. 31. 30. 32 [1] ἐπίσκοποσ ἀντιοχείασ D ἐπίσκοποσ S [6—9] om S [8] θεοδώριτοσ P [10] μελίτιοσ SD [14] μαρκέλλιοσ S [16] μαξιμῖνοσ VMPΛ μάξιμοσ SD [18 19] suppleui ex ΛVP [21] ζεβινᾶσ DΛ ζεβῖνοσ VMPS [26] φριτίλλασ P φριτιλοσ SD [33] τρακυλλῖνοσ S τρακυλῖνοσ D

5 περιόντεσ M 6 ὡς SDΛ πρὸς V om MP ὄντασ ὀρθοδόξουσ VMP in fine add *Dat Kal Iulias* ΕΠΙΦ Z̄ ΙΝΔ̄ ΙΕ̄ Λ

VM, P [= hk], S, D [= mn], WΛtΛc

9 π̄ε̄ V ο̄ς̄ P ν̄ SD ἴσον ἐπιστολῆσ γραφείσησ VMP 10 περὶ — Νεστορίου om VMP 11 σύνοδοσ καὶ οἰκουμενικὴ VMP 12 καὶ εὐλαβεστάτοισ VMPΛ om SDW διακόνοισ VMP 13 τῶι[2] om S 13/14 τοῦ — Κωνσταντινουπόλει] κωνσταντινουπόλεωσ W 15 τοῦ VMPΛ τῶ SDW 16 ἐκκόψαι MPΛ βιασθέντεσ ἐκκόψαι V ἐκκόψαντεσ SDW τὸ P 17 γινομένησ S ἡμεῖσ D πρὸς ὑμᾶς om MP 19 ἐπανελθοῦσα SD ἐν om V 20 διμηναῖον W 21 ἂν ἑλέσθαι PDW ἀνελέσθαι S ἀνέλεσθαι M ἀνέχεσθαι VΛ 24 ἐπιτεταμένωσ P τελουμένησ VMP τὸν θν̄ VMP τῶ θρόνω VMP καὶ om VΛt μεγάλησ πόλεωσ P 25 μέλλοντα] λελαχόντα S 25/26 εὐθυνομένησ V εὐθυνουμένησ MP 26 τοῦ θεοῦ om D 27/28 ποθεινότατοι ἀδελφοί SD

Ἀρκάδιος ἐπίσκοπος ληγάτος
Προίεκτος ἐπίσκοπος ληγάτος
Φίρμος ἐπίσκοπος Καισαρείας
Φλαυιανὸς ἐπίσκοπος Φιλίππων
M IIII 1305 Μέμνων ἐπίσκοπος Ἐφέσου
Θεόδοτος ἐπίσκοπος Ἀγκύρας
Βερηνιανὸς ἐπίσκοπος Πέργης

Ὄντων τῶν καθελόντων Νεστόριον ὑπὲρ τοὺς διακοσίους, ἠρκέσθημεν ταῖς ἐγκειμέναις ὑπογραφαῖς.

86 = S 51 [= 110]. Latina uersio extat in Collectione CT 37

L III 756 Ἐπιστολὴ γραφεῖσα παρὰ τοῦ κλήρου Κωνσταντινουπόλεως πρὸς τὴν ἁγίαν σύνοδον

M IIII 1432 Τοῖς θεοσεβεστάτοις καὶ ὁσιωτάτοις πατράσιν ἡμῶν τοῖς ἀθροισθεῖσιν κατὰ πρόσταγμα τῶν εὐσεβεστάτων βασιλέων ἐκ τῆς ὑφ' ἥλιον ἐν τῆι Ἐφεσίων μητροπόλει Κυρίλλωι Ἰουβεναλίωι Μέμνονι Φλαυιανῶι Φίρμωι Θεοδότωι Ἀκακίωι Ἀμφιλοχίωι Ἐλευσίωι Παλλαδίωι Βερηνιανῶι Ἰκονίωι καὶ πάσηι τῆι λοιπῆι ἁγίαι συνόδωι παρὰ Δαλματίου Τιγρίου Σαμψωνίου Μαξιμιανοῦ Ἰωάννου Εὐάνδρου Μοδεστιανοῦ Ἀδελφίου Φιλοθέου Εὐλογίου Βασιλίσκου Φλωρεντίου καὶ παντὸς τοῦ κατὰ Κωνσταντινούπολιν κλήρου. Ἀεὶ καὶ ἐκ νέας ἡλικίας τῶι ὀρθοδόξωι δόγματι σεμνυνόμενοι τὴν τῶν ἁγίων πατέρων παράδοσιν φυλάττειν σπουδὴν τιθέμεθα. ταύτης δὲ πάλιν παρὰ τῆς ὑμετέρας ἁγιωσύνης πρώην εἰς μνήμην ἀχθέν-
ep. 67 τες δι' ὧν ὁ θεοσεβέστατος καὶ ἁγιώτατος ἀρχιεπίσκοπος Κύριλλος ἐπιστεῖλαι πρὸς ἡμᾶς κατηξίωσε, χάριν ὡμολογήσαμεν τῶι σωτῆρι θεῶι. ὑπόγυον τοίνυν τὰ ὑπὲρ τῆς αὐτῆς πίστεως κατορθώματα πολλὰ καὶ μεγάλα δῆλα κατέστη ἡμῖν, διὸ καὶ τὴν καθαίρεσιν τοῦ πάλαι προεδρεύσαντος ἡμῶν Νεστορίου διὰ τὸ παραχαράξαι τὰ ἀποστολικὰ καὶ εἰλικρινῆ εὐσεβῆ τε διδάγματα γεγενῆσθαι παρὰ τῆς ὑμετέρας γνόντες θεοσεβείας τοὺς μνημονευθέντας ἡμῖν χάρτας παρὰ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ ὡς ἀποσταλέντας παρ' ὑμῶν, ὁσιώτατοι, ἐδεξάμεθα καὶ ἐπὶ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀθροισθείσης πανδήμου ἀναγνωσθῆναι εὐθὺς πεποιήκαμεν. ἴστω οὖν ἡ ὑμετέρα ἁγιωσύνη ὡς ὁ λαὸς σύμφωνος ἡμῖν γεγένηται καὶ πολλαῖς εὐφημίαις εἴς τε τὴν ὑμετέραν ἁγίαν καὶ οἰκουμενικὴν ἐχρήσατο σύνοδον εἴς τε τοὺς τροπαιούχους βασιλέας τοὺς φροντίδα ποιησαμένους τῆς θεοφιλοῦς ὑμῶν συνελεύσεως. ἡμεῖς δὲ ἡσθέντες τὰ ἐν χερσὶν ἀντεγράψαμεν, καὶ δὴ παρακαλοῦμεν ὑπερεύχεσθαι μὲν ἡμῶν τὴν ἀοίδιμον ὑμῶν

---

VM, P [hk], S, D [= mn], WΛ$^t$Λ$^c$

1—9 καὶ οἱ λοιποί: καὶ γὰρ ἦσαν οἱ καθελόντεσ νεστόριον ὑπὲρ τούσ διακοσίουσ W 1—3 ληγάτος — ἐπίσκοπος om. S 2 om D 6 ἐπίσκοπος om. M ἀγκύρων VMP 7 βεριανὸσ V βερεανὸσ MP ἐπίσκοπος om. M 8 σ' V

VM, P [= hk], S, D [= mn], $S_1$, $D_1$ [= $m_1n_1$], WΛ$^t$Λ$^c$

$\overline{\text{πς}}$ V $\overline{\text{οζ}}$ P $\overline{\text{να}}$ SD 11 ἴσον ἐπιστολῆσ γραφείσησ VMP$S_1D_1$ 12 θεοφιλεστάτοισ W 13 ἐκ om. VMP$S_1D_1$ ἡλίω VP$S_1m_1$ 13—17 Κυρίλλωι — Φλωρεντίου om. M 13 Κυρίλλωι om. P 15 βερηνιανῶ SD οὐηρινιανῶ $D_1$Λ οὐηρηνιανῶ $S_1$ βερονιανῶ W εἰρηνιανῶ VP εἰκονίω $S_1$ πάσῃ SDWΛ om. VP$S_1D_1$ 15—17 παρὰ — κλήρου om. W 16 *Euandrio* Λ$^c$ δομεστιανοῦ $S_1$ δομετιανοῦ $D_1$ ἀδελφειοῦ V ἀλογίου S 17 καὶ] παρὰ M κατὰ τὴν MP ἁγίαν ἐκκλησίαν κλήρου M ἀεὶ γὰρ $S_1$ ἐπεὶ D 19 ταύτην $S_1$ πρώην SDWΛ $\overline{\text{πρων}}$ MP $\overline{\text{πρεσ}}$ $S_1D_1$ om. V 19/20 ἀχθέντεσ VMPΛ ἐλθόντεσ SDW$S_1D_1$ 20 θεοφιλέστατοσ Λ 21 Χριστῶι Λ ὑπόγυον SDW ἐπεὶ γοῦν VMP$S_1$ ἐπεὶ $D_1$ αὐτῆσ ὀρθῆσ SD 23 ἡμῖν MP$S_1D_1$ καὶ om. VMP 24 παρὰ τῆσ ὑμετέρασ γεγενῆσθαι $S_1D_1$ 25/26 οὐαλεντιανοῦ D 26 ὁσιώτατα P ὁσιωτάτουσ $S_1D_1$ ἁγίας om. $S_1D_1$ 27 ἀθροισθέντεσ πανδημεὶ P εὐθὺ h$S_1$ 29 σύνοδον ἐχρήσατο W$S_1D_1$ ἐχρήσαντο σύνοδον VM 31 καὶ δὴ καὶ VMP$S_1$ ὑπερεύχεσθαι — ἡμῶν VM$S_1D_1$ ὑπερεύχεσθαι ἡμῶν P εὔχεσθαι μὲν ὑπὲρ ἡμῶν SDW ἀΐδιον MP

θεοσέβειαν, φροντίδα δὲ θέσθαι τοῦ λειπομένου εἰς κατάστασιν τῆς παρ' ἡμῖν ἁγίας τοῦ θεοῦ ἐκκλησίας. τοῦτο γὰρ καὶ μόνον ὑπόλοιπον εἶναι συνορᾶι ἡ ὑμετέρα μεγάλη τοῦ ὀρθοῦ δόγματος πρόνοια ὥστε πάντα ἐπὶ πέρας ἀχθῆναι τῶι δεσπότηι ἀρέσκον Χριστῶι καὶ μηδενὶ ἑτέρωι ἐπιγραφῆναι, ἀλλὰ τῆι ὑμετέραι ἁγιότητι τὰ καθ' ἡμᾶς ἅπαντα καὶ τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις βασιλεῦσιν.

Δαλμάτιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης πατὴρ μοναστηρίων ὑπερεύχεσθαί μου παρακαλῶ τὴν ὑμετέραν ἁγιωσύνην.

**87—90 = S 54—59 A 37. 38. Latina uersio extat in Collectione CT 39 et in Collectione Veronensi 20**

Λίβελλοι ἐπιδοθέντες τῆι ἁγίαι συνόδωι παρὰ τῶν ἁγιωτάτων ἐπισκόπων Κυρίλλου Ἀλεξανδρείας καὶ Μέμνονος Ἐφέσου L III 633 M IIII 1305

Τοῖς μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν Φλαυίου Θεοδοσίου τὸ τρισκαιδέκατον καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ τρίτον τῶν αἰωνίων αὐγούστων τῆι πρὸ ιζ̄ Καλανδῶν Αὐγούστων L III 636 d. 16. m. Iul. a. 431 συνόδου συγκροτηθείσης ἐν τῆι Ἐφεσίων μητροπόλει ἐκ θεσπίσματος τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων βασιλέων

καὶ καθεσθέντων ἐν τῆι ἁγιωτάτηι ἐκκλησίαι τῆι καλουμένηι Μαρίαι τῶν θεοφιλεστάτων καὶ θεοσεβεστάτων ἐπισκόπων Κυρίλλου Ἀλεξανδρείας, διέποντος καὶ τὸν τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Κελεστίνου, καὶ Ἀρκαδίου ἐπισκόπου καὶ ληγάτου τῆς Ῥωμαίων καθέδρας καὶ Προιέκτου ἐπισκόπου καὶ ληγάτου τῆς Ῥωμαίων καθέδρας καὶ Φιλίππου πρεσβυτέρου καὶ ληγάτου καὶ Ἰουβεναλίου Ἱεροσολύμων καὶ Μέμνονος τῆς Ἐφεσίων καὶ Φλαυιανοῦ Φιλίππων, ἐπέχοντος καὶ τὸν τόπον Ῥούφου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεσσαλονικέων καὶ πάντων τῶν προταγέντων ἐπισκόπων ἐν τῆι στάσει τῶν ὑπομνημάτων

Ἡσύχιος διάκονος εἶπεν· Ὁ τὰ πάντα ἁγιώτατος καὶ ὁσιώτατος ἀρχιεπίσκοπος τῆς Ἀλεξανδρέων ἁγίας ἐκκλησίας Κύριλλος καὶ ὁ ἁγιώτατος καὶ θεοσεβέστατος ἐπίσκοπος τῆς Ἐφεσίων Μέμνων λίβελλον ἐπιδεδώκασι τῆι ἁγιωτάτηι καὶ οἰκουμενικῆι συνόδωι τῆι κατὰ θέσπισμα τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων ἐν τῆιδε τῆι Ἐφεσίων μητροπόλει συγκροτηθείσηι, ὃν μετὰ χεῖρας ἔχοντες, εἰ κελεύσειεν ἡ ὑμετέρα ἁγιότης, ἀναγνωσόμεθα.

88 1 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἀναγινωσκέσθω ὁ ἐπιδοθεὶς λίβελλος παρὰ

---

VM, P [= hk], S, D [= mn], W, $S_1$, $D_1$ [= $m_1n_1$], $\Lambda^t\Lambda^c$

1 φροντίσαι δὲ τοῦ $VMPS_1D_1$ 2 εἶναι om. P μεγάλη $VMSWS_1D_1\Lambda$ γαληνὴ D om. P 3 ὀρθοῦ SDWΛ ὀρθοδόξου $VMPS_1D_1$ ἀρέσκον $\Lambda^t$ ἀρέσκοντα $VMPSDWS_1D_1\Lambda^c$ 7 τὴν — ἁγιωσύνην $VMPS_1D_1\Lambda$ ὦ θεία καὶ ἱερὰ συνέλευσισ SDW

V, P [= hk], S, D [= mn], $A\Lambda^t\Lambda^c\Lambda^u$

superscr. πρᾶξισ πρώτη SD π͞ζ V ο͞η P ν͞δ SD 10 λίβελλοσ ἐπιδοθεὶσ SD τῆι — συνόδωι om. VP 10/11 κυρίλλου — ἐφέσου $SDA\Lambda^{tc}$ κυρίλλου καὶ μέμνονοσ VP 11 post Ἐφέσου iterum superscr. ὑπομνήματα πραχθέντα ἐν ἐφέσω ἐν οἷσ ἀκοινωνησίαν ὥρισε κατὰ τῶν ἀνατολικῶν SD 12 ι͞γ D 13 βλαβίου V οὐαλεντίνου SD δεκαεπτὰ VPA Καλανδῶν om. P 14 κροτηθείσησ PS ἐν om. S 18 καὶ ὁσιωτάτου om. VP ἐπισκόπου S 18—23 καὶ Ἀρκαδίου — ὑπομνημάτων om. $\Lambda^{tu}$ 18/19 καὶ Ἀρκαδίου — καθέδρας om. VP 19/20 καὶ ληγάτου — καθέδρασ $VP\Lambda^c$ τῆσ ῥωμαίων καὶ αὐτοῦ ἐκκλησίασ τυγχάνοντοσ SDA 20 καὶ Φιλίππου — ληγάτου om. VP *legato Romanorum sedis* $\Lambda^c$ 22 τῆς om. SDA 22/23 πάντων — ὑπομνημάτων $SDA\Lambda^c$ φίρμου καισαρείασ καππαδοκίασ πρώτησ καὶ ἀκακίου μελιτηνῆσ καὶ θεοδοσίου ἀγκύρασ γαλατίασ πρώτησ καὶ τῶν λοιπῶν πάντων καὶ βεσσούλα [σεβουλᾶ V] διακόνου καρθαγένησ VP 25 ἁγίασ $A\Lambda^{tc}$ om. $VPSD\Lambda^u$ θεοφιλέστατοσ D 25/26 ἐν ἐφέσω SDA 26 λιβέλλουσ AΛ 27 τῆιδε] δὲ S 27/28 τῇ μητροπόλει τῇ ἐφεσίων VP 28 κροτηθείσῃ S οὖσ SΛ 30 π͞η V ο͞θ P

τῶν ἁγιωτάτων καὶ ὁσιωτάτων ἐπισκόπων Κυρίλλου τῆς Ἀλεξανδρέων καὶ Μέμνονος τῆς Ἐφεσίων καὶ ἐνταττέσθω τοῖς πραττομένοις.

Ἡσύχιος διάκονος ἀνέγνω

2 Τῆι ἁγίαι συνόδωι τῆι κατὰ θεοῦ χάριν καὶ θέσπισμα τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων βασιλέων συναχθείσηι ἐν τῆιδε τῆι Ἐφεσίων μητροπόλει Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας καὶ Μέμνων τῆς Ἐφεσίων. Εὐσεβὲς θέσπισμα ἐν τῆιδε τῆι Ἐφεσίων μητροπόλει καὶ ἡμᾶς M IIII 1308 καὶ τὴν ὑμῶν ὁσιότητα συνδραμεῖν ἐκέλευσεν, ὥστε τὸν ὀρθὸν τῆς ἀποστολικῆς πίστεως ὅρον κοινῆι ψήφωι κρατυνθῆναι, δοκιμασθῆναι δὲ καὶ τὴν καινοτομηθεῖσαν αἵρεσιν παρὰ Νεστορίου. ἀλλ' ἡ μὲν ἁγία ὑμῶν σύνοδος, ὀρθὰ καὶ κανονικῶς πάντα πράττουσα, συνήδρευσε μὲν ἐν τῆι ἁγίαι ἐκκλησίαι τῆι κατὰ τήνδε τὴν μητρόπολιν, ἐκάλεσε δὲ τὸν μνημονευθέντα Νεστόριον ὥστε εἰσελθεῖν εἰς τὸ συνέδριον καὶ ἀπολογήσασθαι ὑπὲρ ὧν ἔν τε ἐξηγήσεσι δεδυσφήμηκε καὶ ἐν ἰδίαις ἐπιστολαῖς ἀσεβεῖς καὶ ἀλιτηρίους ἀφιεὶς φωνὰς κατὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, τρίτον δὲ αὐτὸν κληθέντα καὶ οὐκ ἀνασχόμενον ἀπαντῆσαι διὰ τὸ κακῶι συνειδότι πλήττεσθαι τοῖς τῆς ἐκκλησίας ἑπομένη θεσμοῖς καθαιρέσει ὑποβέβληκε, πάντα ἀκριβῶς ἐξετάσασα τὰ κατ' αὐτὸν καὶ πληροφορηθεῖσα ὅτι καὶ αἱρετικός καὶ δύσφημός ἐστι. τούτων οὕτω πραχθέντων καὶ ἀνενεχθέντων εἰς γνῶσιν τῶν εὐσεβεστάτων καὶ καλλινίκων ἡμῶν βασιλέων, ὀψὲ καὶ μόλις τὴν Ἐφεσίων καὶ ὅτε ἠβουλήθη, καταλαβὼν ὁ τῆς Ἀντιοχέων Ἰωάννης συναγαγών, ὡς ἐμάθομεν, τινὰς τῶν τὰ Νεστορίου I. III 637 φρονούντων, ὧν οἳ μέν εἰσι πάλαι καθῃρημένοι, οἳ δὲ οὐδὲ πόλεις ἔχουσιν, ἀλλ' εἰσὶν ὀνόματι μόνωι ἐπίσκοποι, ὥσπερ ἀγανακτήσας ὅτι δεδόξασται Χριστὸς καθαίρεσιν ὑπομείναντος δικαίαν τοῦ βλασφημοῦντος εἰς αὐτόν, οὐκ ἴσμεν ὅπως, εἴ γε ὅλως ἐστὶν ἀληθὲς τὸ θρυλούμενον, πάντα πατήσας θεσμὸν ἐκκλησιαστικὸν καὶ πάσας ὑβρίσας ἐκκλησιαστικὰς ἀκολουθίας ἀσεβὲς καὶ παράνομον συνέταξε χαρτίον καὶ ἡμᾶς τῶι τῆς καθαιρέσεως ὀνόματι δύνασθαι πλήττειν νομίσας ὕβρισεν οὐ φορητῶς, καὶ ταῦτα τῆς μὲν ἁγίας συνόδου τῆς Νεστόριον καθελούσης ὑπὲρ τοὺς διακοσίους τὸν ἀριθμὸν ἁγίους ἐπισκόπους ἐχούσης, ἐκείνου δὲ συλλέξαντος αἱρετικοὺς καὶ διαβεβλημένους ἑτέρους τριάκοντά που τὸν ἀριθμόν, καίτοι οὔτε ὑπὸ θεσμῶν ἐκκλησιαστικῶν οὔτε ἐκ θεσπίσματος βασιλικοῦ ἐξουσίαν ἔχων ἢ δικάσαι τινὶ ἡμῶν ἢ γοῦν ὅλως ἐπιχειρῆσαί τι τοιοῦτον, μάλιστα κατὰ μείζονος θρόνου, ὁπότε εἰ καὶ ἐξῆν αὐτῶι δικάσαι, ἐχρῆν τοῖς κανόσιν ἐξακολουθῆσαι τοῖς ἐκκλησιαστικοῖς καὶ ὑπομνῆσαι τοὺς ὑβρισμένους ἡμᾶς μετὰ τῆς ἄλλης ἁπάσης ἁγίας ὑμῶν συνόδου καλέσαι πρὸς ἀπολογίαν. νυνὶ δὲ τούτων μηδὲν ὑπολογισάμενος μηδὲ τὸν τοῦ θεοῦ φόβον εἰς νοῦν βαλών, κατ' αὐτὴν τὴν ὥραν καθ' ἣν εἰσῆλθεν εἰς τὴν Ἐφεσίων, λεληθότως καὶ οὐδενὸς εἰδότος τὸ σύμπαν ἡμῶν τὸ τολμώμενον κατέπαιξε τῆς ἑαυτοῦ κεφαλῆς, ἵνα μὴ λέγωμεν τῶν τῆς ἐκκλησίας θεσμῶν, καὶ ὑβρίζει ψήφωι καθαιρέσεως τοὺς μηδὲν εἰδότας μέχρι σήμερον κἂν γοῦν ποίαν

---

V, P [= hk], S, D [= mn], ΛΛ^tΛ^cΛ^u

1 ἐπισκόπων om. S   2 *inserantur* Λ^tc   4 νε' D   6 $\overline{νε}$ S   *sanctio* [*decretum* Λ^u] *deoamantissorum imperatorum* [*principum* Λ^tu] Λ^tcu   μητροπόλει om. P   9 ὑμῶν om. P   ὀρθὰ καὶ] ὀρᾶ ὡσ Λ *recte et* Λ   κανονικὰ SD   10—13 κατὰ τήνδε — κατὰ τοῦ om. P spatio magno relicto   10 ἐκάλεσε Λ ἐκέλευσε VSDA   11 ὥστε om. V   13 μὴ V   15 ὑπέβαλε V   17 ἐβούλετο V   18 τῶν om. S   19 φρονοῦντασ S   οὐ S   20 ὁ δὲ ὥσπερ P   δεδόξασθαι Λ   21 ὅπως om. A   21/22 θρυλλούμενον VPSD   22/23 πάσασ — ἀκολουθίασ SDA πᾶσαν — ἀκολουθίαν ἐκκλησιαστικὴν V πᾶσαν — ἀκολουθίαν P *omnem consequentiam* Λ   23 ἀσεβὲς — καθαιρέσεως om. P   συνετάξατο A   καὶ om. SA   24 πλάττειν P   καὶ ταῦτα] καίτοι Λ^c   τῆσ μὲν DA μὲν τῆσ S τῆσ VP   τὸν νεστόριον P   25 τοὺς om. SDA   26 ὑπὸ VSDA ἀπὸ P *ex* Λ   27 ἐκ VP *ex* Λ ὑπὸ SDA   τὴν ἐξουσίαν SDA   ὑμῶν S ἐξ ἡμῶν V   29 ὑπομνῆσαι abundat   30 ὑμᾶσ S   πάσησ D   συνόδου ὑμῶν P *nostra synodo* Λ^tu   31 λαβὼν SA   33 τετολμημένον VP   κατέπαιε D   κεφαλῆς] κελεύσεωσ S γρ κελεύσεωσ ad τὸ τολμώμενον per signum relatum D in mg.   λέγοιμεν VP   34 ὑβρίζη S   μὴ PΛ   κἂν] καὶ D   ποίαν om. P

ἔσχεν εἰς τοῦτο πρόφασιν. ἐπειδὴ τοίνυν ἀκόλουθόν ἐστι μὴ οὕτω πατεῖσθαι τοὺς τῆς ἐκκλησίας θεσμοὺς μηδὲ εἰκῆι φέρεσθαι κατὰ μειζόνων ἢ καὶ λεληθότως τοιαῦτα τολμᾶν ἅπερ οὐκ ἂν ἔδρασεν οὐδὲ εἷς ἕνα τῶν τὸν τελευταῖον ἐν ἐκκλησίαις ἐχόντων βαθμὸν καὶ ὑπὸ χεῖρα πραττόντων τὴν αὐτοῦ, ἐνταῦθα δέ ἐστι μετὰ τῶν τοῦτο συνδεδρακότων αὐτῶι, ἀναγκαίως προσάγομεν τῆι ὑμετέραι θεοσεβείαι τάδε τὰ βιβλία, ὁρκίζοντες κατὰ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος μεταπεμφθῆναι αὐτόν τε τὸν Ἰωάννην καὶ τοὺς συνδραματουργήσαν- M IIII 1300 τας αὐτῶι ὥστε ἐλθόντας εἰς τὴν ἁγίαν σύνοδον ἀπολογήσασθαι ὑπὲρ τοῦ ἰδίου τολμήματος· ἑτοίμως γὰρ ἔχομεν ἀποδεῖξαι αὐτὸν ἀνόσιον καὶ παράνομον τῆς καθ' ἡμῶν ὕβρεως πεποιημένον τὸ ἐγχείρημα.

8 Ἀκάκιος ἐπίσκοπος Μελιτηνῆς εἶπεν· Περιττὴ μὲν ἡ περὶ τῶν αἰτιαθέντων ὑπόνοια, εἴ γε καὶ αὐτὴ ἀληθὴς εἴη, καὶ περιττὴ ἡ αἴτησις τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων Κυρίλλου τῆς Ἀλεξανδρέων καὶ Μέμνονος τῆς Ἐφεσίων (οὐδὲ γὰρ οἷόν τε ἦν τοὺς ἀποστατήσαντας ἀπὸ τῆς ἁγίας συνόδου καὶ προστεθέντας τοῖς τῆι κακοδοξίαι Νεστορίου ἑαυτοὺς συνάψασι καὶ ὑπὸ ἔγκλημα τοσοῦτον καὶ τοιοῦτον γενομένους τολμᾶν τι κατὰ τῶν προέδρων τῆς οἰκουμενικῆς ταύτης συνόδου διαπράττεσθαι, μηδὲ ὅλως ἔχοντας αὐθεντίαν)· ἐπειδὴ δὲ ἤρεσε τῆι ὑμετέραι ὁσιότητι ὥστε καὶ περὶ τούτων αὐτοὺς εἰς κρίσιν ἑλκυσθῆναι, ὑπομνησθεὶς διὰ τῶν εὐλαβεστάτων ἐπισκόπων Ἀρχελάου καὶ Παύλου καὶ Πέτρου ὁ πρόεδρος τῆς τοιαύτης ἀποστασίας ὁ τῆς Ἀντιοχέων ἐπίσκοπος Ἰωάννης περὶ ὧν ἠιτιάθη, ἀπολογήσεται τίνι λόγωι τοιαῦτα ἐτόλμησεν.

Καὶ ἀπελθόντων Ἀρχελάου ἐπισκόπου Μύνδου τῆς Καρίας καὶ Παύλου ἐπισκόπου L. III 640 Λάμπης τῆς Κρήτης καὶ Πέτρου ἐπισκόπου Παρεμβολῶν τῆς Παλαιστίνης καὶ ἐπανελθόντων,

89 1 Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Διδασκέτωσαν οἱ θεοσεβέστατοι ἐπίσκοποι οἱ τὸ δήλωμα διακονῆσαι πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην ἐπιταχθέντες τίνος ἔτυχον παρ' αὐτοῦ ἀποκρίσεως.

2 Παῦλος ἐπίσκοπος Λάμπης εἶπεν· Πεμφθέντες παρὰ τῆς ἁγίας ὑμῶν συνόδου πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην τῆς Ἀντιοχέων, πλησιάζοντες τῆι τούτου οἰκίαι ἐθεασάμεθα πλῆθος στρατιωτῶν καὶ ἑτέρων τινῶν ὅπλα καὶ ξίφη ἐπιφερομένων, οἳ μὴ συνεχώρουν ἡμῖν πλησιάσαι τῶι πυλῶνι. μόλις δὲ πλησίον ἐγενόμεθα καὶ πολλῶν ῥηθέντων παρ' ἡμῶν ὅτι εἰρηνικοί ἐσμεν· μὴ γὰρ πλῆθός ἐσμεν; τρεῖς ἐσμεν ἀποσταλέντες, δέξασθε ἡμᾶς· ἡ ἁγία σύνοδος ἀπέστειλεν ἡμᾶς ῥήματα ἔχοντας εἰρηνικὰ κανονικοῦ ἕνεκα πράγματος πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην, πολλῶν τοίνυν περιεστώτων ἡμᾶς, γνούς, ὡς ἔοικε, τὴν αἰτίαν δι' ἣν ἀπεστάλημεν, οὐκ ἐδέξατο ἡμᾶς, πολλὰ δὲ παρὰ πολλῶν ἐρρέθη, ἐν οἷς καὶ δύσφημα ἦν κατὰ τῆς ἁγίας συνόδου καὶ κατὰ τῆς ὀρθοδόξου πίστεως, ἅτινα διακονῆσαι διὰ τὸν γενόμενον ἐκεῖσε θόρυβον μετὰ ἀκριβείας οὐ δυνάμεθα.

---

V, P [= hk], S, D [= mn], ΛΛtΛcΛu

2 ἡ om. VP τοιαῦτα τολμᾶν VPΛ ταῦτα ποιεῖν SDA 3 τὸν om. P ἐκκλησία PΛ 4 ταττομένων PΛ ἑαυτοῦ V εἰσ τοῦτο συνδεδραμηκότων P 5 τῆι — θεοσεβείαι om. S 5/6 ὁμοουσίου καὶ ἁγίασ SDA 6 αὐτόν τε τόν SD καὶ αὐτὸν τὲ τὸν VP καὶ αὐτόν τε A 7 ἐλθόντα VP 9 τὸ om. VP 10 νς' D μελίτησ S μὲν καὶ V περὶ om. PΛu αἰτηθέντων Λu 11 εἴ γε] εἴτε Λ αἴτησισ VPΛ αἰτίασισ SDA 12 ἀλεξανδρείασ V οὐδὲ scripsi οὔτε VPA *neque* Λ οὐ SD ἦν οἷόν τε VP 13 ἀπὸ om. P 13/14 τοῖσ τῆ — συνάψασι SDAΛ τῆ — καὶ ἑαυτοὺσ συνάψαντασ VP 14 τοσοῦτον καὶ τοιοῦτον VPΛ τοιοῦτον καὶ τοσοῦτον SDA 15 συνόδου ταύτησ P αὐθεντίαν VPΛ ἐξουσίαν SDA 16 ὥστε om. SDA αὐτῶν τούτουσ V 18 ὑποστασίασ S ὁ] καὶ V 20 μίνδου P μένδου S 21 καὶ om. Λtu Παρεμβολῶν om. A τῆς om. DA 22 καισαρείασ καππαδοκίασ VPΛc καισαρείασ SDA om. Λtu πθ V π P διδασκέσθωσαν V θεοφιλέστατοι D 25 νς S ὑμῶν om. S 26 ἀντιοχείασ S πλησιάζοντεσ δὲ VP 27 μὴ] οὐ μὴ A οὐδὲ V 30 εἰρηνικὰ] κανονικὰ Λ ἕνεκεν SD 34 διακομίσαι P ἐκεῖ S μετὰ ἀκριβείας om. P δεδυνήμεθα VP

3 Ἀρχέλαος ἐπίσκοπος Μύνδου εἶπε· Πολὺν θόρυβον καὶ κίνδυνον μικροῦ δεῖν ὑπεμείναμεν ἐν τῆι οἰκίαι παραγενόμενοι τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου, στρατιωτῶν ξίφη γυμνωσάντων καὶ ξύλα κρατούντων καὶ ἀπειλούντων ἡμῖν καὶ πλήθους ἑτέρου περιεστῶτος, καὶ πολλοὺς παρακαλέσαντες μηνυθῆναι, οὐκ οἶδα δι' ἣν αἰτίαν, οὐκ ἐδέχθημεν.

M IIII 1312 4 Πέτρος ἐπίσκοπος Παρεμβολῶν εἶπε· Παραγενόμενος καὶ αὐτὸς ἅμα τοῖς εὐλαβεστάτοις ἐπισκόποις εἰς τὴν οἰκίαν Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου, πολλῶν στρατιωτῶν ὅπλα ἐμφερομένων καὶ γυμνωσάντων καὶ περιστοιχισάντων ἡμᾶς, καὶ ἑτέρων δὲ πολλῶν σὺν αὐτοῖς ἐκεῖσε θορυβούντων καὶ ἀπειλούντων ἡμῖν καὶ βλάσφημα ἀφιέντων ῥήματα κατὰ τῆς ὀρθοδόξου πίστεως καὶ τῆς ἁγίας ὑμῶν καὶ θεοφιλοῦς συνόδου, παρακαλέσαντες μηνυθῆναι καὶ τὰ παρὰ τῆς ἁγίας συνόδου διακονῆσαι ῥήματα τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἰωάννηι, οὐκ ἐδέχθημεν, γνόντος, ὡς οἰόμεθα, τοῦ αὐτοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου τὴν αἰτίαν ἐφ' ἧι ἀπεστάλημεν· παρῆσαν γὰρ τινὲς τῶν αὐτοῦ κληρικῶν, οἷς εἰρήκαμεν ὅτιπερ ἀπεστάλημεν παρὰ τῆς ἁγίας συνόδου, οὐδεὶς δὲ ἡμᾶς δεχθῆναι συνεχώρησεν.

5 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Συνορᾶι ἡ ἁγία ὑμῶν σύνοδος ὅτι ἐγὼ μὲν καὶ ὁ εὐλαβέστατος καὶ θεοφιλέστατος συνεπίσκοπος Μέμνων ἐνταῦθα ἐσμὲν καθαρὸν ἔχοντες τὸ συνειδὸς καὶ τῆι ἑαυτῶν ὑπολήψει συστῆναι ηὐτρεπισμένοι, ἀλλ' ὡς ἔοικε, μελέτη μία τῶι τε αἱρετικῶι Νεστορίωι καὶ τῶι ὑπερασπίζοντι τῶν αὐτοῦ δογμάτων Ἰωάννηι τῶι τῆς
L III 641 Ἀντιοχέων κατὰ τῶν τῆς ἁγίας ἐκκλησίας ἀπονοεῖσθαι θεσμῶν καὶ καλουμένους εἰς ἀπολογίαν ὧν πεπλημμελήκασιν, ὅπλοις τὰς ἑαυτῶν περιφράττειν οἰκίας ἀπροσίτους τε αὐτὰς ἀποφαίνειν τοῖς κανονικῶς καλοῦσιν εἰς ἀπολογίαν ὧν εὐθύνονται. ἐπειδὴ τοίνυν ὁ μνημονευθεὶς εὐλαβέστατος Ἰωάννης δεδιὼς τὸ ἴδιον πλημμέλημα ποικίλας ἀφορμὰς ὑπερθέσεως ἑαυτῶι πορίζεται, ὡς ἔστιν ἰδεῖν ἀφ' ὧν ἐδίδαξαν οἱ θεοσεβέστατοι ἐπίσκοποι, μᾶλλον δέ, ὡς ἔφην, ἀφ' ὧν ἀπρόσιτον τοῖς ἀποστελλομένοις παρὰ τῆς ἁγίας συνόδου τὴν ἑαυτοῦ κατεσκεύασεν οἰκίαν, δῆλός ἐστιν ἑαυτοῦ καταψηφιζόμενος καὶ τῶν οἰκείων τολμημάτων κατηγορῶν δι' ὧν ὑφορᾶται καὶ δέδιε τὴν ἄφιξιν τὴν εἰς τὴν ἁγίαν ταύτην καὶ μεγάλην σύνοδον. καταξιωσάτω τοίνυν ὑμῶν ἡ ὁσιότης, ἀσυνάρπαστον τὴν ἀκοὴν ἔχουσα καὶ τῆι φύσει τοῦ πράγματος ἐνορῶσα, τὰ μὲν καθ' ἡμῶν ἀνοσίως παρ' ἐκείνου τετολμημένα ταῖς ἐννομωτάταις ἀφανίσαι ψήφοις, ὁρίσαι δὲ τὰ δοκοῦντα κατὰ τοῦ τοιαύτην ὕβριν ἐπενεγκεῖν τολμήσαντος ἡμῖν.

6 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἐχρῆν μὲν Ἰωάννην τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀντιοχείας ἐνθυμούμενον την ἁγίαν καὶ μεγάλην καὶ οἰκουμενικὴν ταύτην σύνοδον εὐθέως εἰς ἀπολογίαν τῶν ἐπαγομένων αὐτῶι δραμεῖν [καὶ τὸν ἀποστολικὸν θρόνον συνεδρεύοντα ἡμῖν τῆς μεγάλης Ῥώμης] καὶ τῶι ἀποστολικῶι τῆς Ἱεροσολύμων ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὑπακοῦσαι [καὶ τιμῆσαι], παρ' ὧι μάλιστα ἔθος αὐτὸν τὸν Ἀντιοχέων θρόνον ἐξ

V, P [= hk], S, D [= mn], $Λ^{t}Λ^{c}Λ^{u}$

1—4 post 5—13 coll. S   1 μίνδου P μένδου S   6 εἰς — ἐπισκόπου om P   Ἰωάννου om. S   ἐπισκόπου om. $Λ^{c}$   πολλῶν om. D   7 δὲ om. SDA   8 ἐκεῖθεν SDA   ἀφιέντων] ἀπειλούντων D   10 τὰ om. A   11 Ἰωάννηι om. S   ἰωάννου ἐπισκόπου S   12 ἣν PSD   κληρικοὶ A   13 ὅτι προαπεστάλημεν P   ἀπὸ SDA   14 σύνοδοσ ὑμῶν PS   15 ἐπίσκοποσ SD$Λ^{t}$   16 τῆι om. V   17 τε om. A   18 ἀντιοχείασ DA *Antiocheno* $Λ^{tu}$   ἀντιοχέων ἐπισκόπω VP$Λ^{c}$   19 ἀπροσίτουσ τε VPA καὶ ἀπροσίτουσ SD   20 ἀπολογίασ V   21/22 ἑαυτῶ πορίζεται ὑπερθέσεωσ SD ἑαυτῶ ὑπερθέσεωσ πορίζεται A   22 αὐτῶ P   ὡσ ἔστιν SDAΛ ἔξεστιν V ἔστιν P   θεοφιλέστατοι P   23 ἀφ' ὧν om. AΛ   παρὰ — συνόδου om S   26 ἡ ὑμῶν VP ἡμῶν ἡ S   ἀνάρπαστον D   27 τὴν φύσιν SD   παρ' ἐκείνου ἀνοσίωσ P   28 ἐννομωτάτοισ P   κατὰ τοῦ SDAΛ κατ' αὐτοῦ VP   29 ὑπενεγκεῖν P   ἡμῖν τολμήσαντοσ VP τολμήσαντοσ ὑμῖν S   30 νζ' D   31 σύνοδον ταύτην V σύνοδον P   32/33 καὶ τὸν — Ῥώμης et 34 καὶ τιμῆσαι interpolata esse ipsa oratione proditur. interpolationis finis erat ut Iuuenalis praesumptio mitigaretur, quae post concilium Chalcedonense locum non habebat; cf. Leon. ep. 119. ceterum interpolatione factum est ut θρόνωι post ἀποστολικῶι periret   συνεδρεύοντα ἡμῖν θρόνον P   33 ἁγίασ ἱεροσολύμων SDA   34 παρ' ὧ VPAΛ παρὸ SD

ἀποστολικῆς ἀκολουθίας καὶ παραδόσεως ἰθύνεσθαι καὶ παρ' αὐτῶι δικάζεσθαι· ἐπειδὴ δὲ τῆι συνήθει ὑπεροψίαι χρώμενος τὴν ἑαυτοῦ οἰκίαν ὅπλοις περιέφραξε διὰ στρατιωτῶν καὶ ἰδιωτῶν, ὡς οἱ καταθέμενοι θεοσεβέστατοι ἐπίσκοποι οἱ παρὰ τῆς ἁγίας ταύτης συνόδου πεμφθέντες ἐγνώρισαν ἡμῖν, τοῖς κανόσιν ἡμεῖς ἑπόμενοι καὶ τὴν ἀκολουθίαν φυλάττοντες πάλιν ἐκ δευτέρου αὐτὸν ὑπομνησθῆναι ὁρίζομεν. διαβάντες οὖν ἕτεροι θεοσεβέστατοι ἐπίσκοποι M IIII 1313 μετὰ τῆς αὐτῆς τῆς πρότερον ἐπιεικείας ὑπομνήσουσιν αὐτὸν παραγενέσθαι εἰς τὴν ἁγίαν σύνοδον καὶ ἀποκρίνασθαι τοῖς αὐτῶι ἐπαγομένοις.

7 Καὶ ἀπελθόντων Τιμοθέου ἐπισκόπου Τερμεσσοῦ καὶ Εὐδοκιάδος καὶ Εὐσταθίου ἐπισκόπου Δοκιμίου καὶ Εὐδοξίου ἐπισκόπου Χώματος καὶ ἐπανελθόντων, Εὐδόξιος ἐπίσκοπος Χώματος ἐπαρχίας τῆς Λυκίας εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας θεοσεβείας παραγενόμενοι εἰς τὴν οἰκίαν τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου τῆς Ἀντιοχέων, εὕρομεν καὶ στρατιώτας περὶ τὴν οἰκίαν αὐτοῦ μετὰ ξιφῶν γυμνῶν καὶ κληρικούς τινας, παρεκαλέσαμεν δὲ τοὺς κληρικοὺς λέγοντες· ἀπεστάλημεν παρὰ τῆς ἁγίας συνόδου ἀπαγγεῖλαί τινα ῥήματα τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἰωάννηι καὶ καταξιώσατε μηνῦσαι ἡμᾶς. οἳ δὲ εἰσελθόντες καὶ μηνύσαντες ταῦτα, ὑποστρέψαντες ἀπόκρισιν ἡμῖν δεδώκασι λέγοντες ὅτι εἶπεν ὁ ἐπίσκοπος Ἰωάννης ὅτι ἡμεῖς ἀνθρώποις καθαιρεθεῖσι παρ' ἡμῶν καὶ ἀκοινωνήτοις οὖσιν ἀπόκρισιν οὐ ποιοῦμεν. ὡς δὲ ἠρωτήσαμεν παρὰ τίνος καθηιρέθημεν καὶ ἀκοινώνητοι γεγόναμεν, εἰρήκασιν ἡμῖν ὅτι παρὰ τοῦ ἐπισκόπου τῆς Ἀντιοχέων Ἰωάννου. ὡς δὲ ἐπέμψαμεν ἀκριβέστερον μαθεῖν, ἔφασαν ὅτι ἐπὶ ταβουλαρίων ταῦτα οὐ παραιτούμεθα εἰπεῖν. L III 644

8 Τιμόθεος ἐπίσκοπος Τερμεσσοῦ καὶ Εὐδοκιάδος εἶπεν· Ὡς ἐκέλευσεν ἡ θεοσέβεια ὑμῶν, παρεγενόμεθα ἐν τῆι οἰκίαι τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου καὶ εὑρόντες πρὸ τῶν θυρῶν κληρικοὺς ἑστῶτας, ἐμηνύσαμεν ἀξιοῦντες δεχθῆναι καὶ κατὰ πρόσωπον εἰπεῖν τὰ ἐντεταλμένα ἡμῖν. οἳ δὲ εἰσελθόντες ταύτην ἡμῖν τὴν ἀπόκρισιν δεδώκασιν ὅτι ἡμεῖς ἀκοινωνήτοις καὶ καθηιρημένοις ἀπόκρισιν οὐ ποιοῦμεν· μὴ καμνέτωσαν καλοῦντες ἡμᾶς συνεχῶς.

9 Εὐστάθιος ἐπίσκοπος Δοκιμίου εἶπε· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ὁσιότητος παρεγενόμεθα ἐν τῆι οἰκίαι ἔνθα μένει ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰωάννης τῆς Ἀντιοχέων, καὶ τοῖς ἐκεῖσε κληρικοῖς εὑρεθεῖσι παρηινέσαμεν μηνυθῆναι ὡς δεῖν ἡμᾶς συντυχεῖν τῶι αὐτῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἰωάννηι καὶ εἰπεῖν τὰ παρὰ τῆς ἁγίας ταύτης συνόδου δι' ἡμῶν δηλωθέντα αὐτῶι. οἳ δὲ εἰσελθόντες καὶ ἐπαναστρέψαντες πρὸς ἡμᾶς ἔφασαν ὅτιπερ ἡμεῖς καὶ καθείλομεν καὶ ἀκοινωνήτους πεποιήκαμεν καὶ μὴ καμνέτωσαν καλοῦντες ἡμᾶς. ἐπειρώμεθα δὲ μαθεῖν τὰ ὀνόματα τῶν εἰσελθόντων μηνῦσαι, καὶ εἰπεῖν οὐκ ἠβουλήθησον, λέγοντες· κληρικοί ἐσμεν καὶ οὐ ταβουλάριοι.

10 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ καὶ νῦν τῆι

---

V, P [= bk], S, D [= mn], ΛΛtΛcΛu

2 συνήθη PSn, corr. S   3 θεοφιλέστατοι SDA   οἱ om. V   4 τοῖσ κανόσι πειθόμενοι τοῖσ κανόσιν ἡμεῖσ ἑπόμενοι S   καὶ om. S   4/5 ἐκ δευτέρου πάλιν VP   6 τῆς[2]] τῇ A   αὐτὸν ὑπομνήσουσι SD   ἁγίαν ταύτην Λc   8 τερμεσσοῦ A τερμέσου SD, corr. S περμεσσοῦ PΛc περμεσοῦ VΛtu   9 χώματοσ VPΛ χώματοσ τῆσ λυκίασ SDA   ἐλθόντων VP   9/10 Εὐδόξιος — εἶπεν] εἶπον A   ἐπίσκοπος — Λυκίας om. SD   νζ S   11 ἀντιοχείασ DAΛ   11/12 ηὕρομεν A   14 καὶ — ἡμᾶς om. VP   14/16 οἳ δὲ — Ἰωάννης] οὗτοι πρὸσ ἡμᾶσ ἀντέφησαν V   15 ὑποστρέψαντες om. S   οὐ δεδώκασι S   17 οὐ ποιοῦμεν SDA οὐδεμίαν ποιούμεθα VP   18 γεγόναμεν] ἐσμὲν V   19 ἐπέμψαμεν] *persisteremus* Λtc *permaneremus* Λu   ἔφησαν VP   ἐπὶ VPΛtu καὶ ἐπὶ SDAΛc   ταβουλλαρίων VPSD   εἰπεῖν οὐ παραιτούμεθα S   20 τερμεσσοῦ SA τερμέσου D τερμισσοῦ P περμισσοῦ VΛt *permessi* Λc   21 καὶ ἰωάννου καὶ S   23 ἡμῖν] εἰπεῖν V   δεδώκασι τὴν ἀπόκρισιν P ἀπόκρισιν δεδώκασιν SDA   26 ἐπίσκοπος om. S   27 ἐπίσκοπος om. Λc   28 ἐκεῖθεν A   δεῖ VA   αὐτῶι om. SΛtu   29 ἐπισκόπωι om. VP   δι' ἡμῶν om. V   30 ἔφησαν VP   31 καὶ[1] om. PΛtu   ἡμᾶς om. S   32 ἠβουλήθησαν VPΛ ἠβουλήθησαν οὐδὲ [δὲ A] μηνῦσαι ἡμῖν SDA   33 καὶ om. P   οὐ om. V   ταβουλλάριοι VPSD   34 ὁ $\overline{\chi\sigma}$ DA

ἁγίαι συνόδωι παρὼν τὰς τῶν πραγμάτων φύσεις ἐναργεῖς ἡμῖν κατέστησεν εἰπὼν ὅτι
Ioh 3, 20 πᾶς ὁ τὰ φαῦλα πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῆι τὰ ἔργα αὐτοῦ. τοῦτο παθόντα καὶ νῦν τὸν εὐλαβέστατον Ἰωάννην
M IIII 1316 τῆς Ἀντιοχείας [ἐπίσκοπον] ἡ ὑμετέρα που πάντως ὁσιότης καὶ νῆψις ὁρᾶι. εἰ γὰρ ἑαυτῶι συνήιδει πεπραχὼς τι καθ' ἡμῶν κανονικὸν ἢ ἀρέσκον θεῶι, πῶς οὐκ ἐχρῆν αὐτὸν ἀφικέσθαι προθύμως εἰς τὴν ἁγίαν ταύτην καὶ οἰκουμενικὴν σύνοδον, ὥστε καὶ ψήφωι τῆι παρ' ὑμῶν ἐπισφραγισθὲν αὐτοῦ τὸ ἐγχείρημα μᾶλλον ἰσχῦσαι καθ' ἡμῶν, εἴπερ ἐπέπρακτο κατὰ θεσμοὺς ἐκκλησιαστικούς; ἐπειδὴ δὲ δέδιε τὸ μισοπόνηρον τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου καὶ οἶδε δυσσεβῶς καὶ παρανόμως ἐνυβρίσας ἡμῖν, παραιτεῖται τὴν ἄφιξιν, ἵνα μὴ τὴν αὐτῶι πρεπωδεστάτην ὑπομείνηι τιμωρίαν καὶ ἀγανάκτησιν· κρύπτει γὰρ ἃ πεπλημμέληκε, καὶ αἰσχύνεται ἐπὶ κριταῖς ὑμῖν ἐμφανίσαι τὴν ἑαυτοῦ παρανομίαν. ὅθεν παρακαλοῦμεν ἀποφήνασθαι τὴν ἁγίαν ταύτην σύνοδον ἐντεῦθεν ἤδη μηδεμίαν μὲν ἰσχὺν τὰ παρ' ἐκείνου τετολμημένα καθ' ἡμῶν ἔχειν, κληθέντα δὲ καὶ εἰς αὖθις ὑπὲρ ὧν δέδρακεν ἀνοσίως, ἐννόμωι καὶ δικαιοτάτηι ἀποφάσει τῆι παρ' ὑμῶν καὶ ἀπὸ τῶν κανόνων ὑπενεχθῆναι.

11 Μέμνων ἐπίσκοπος Ἐφέσου εἶπεν· Ἡ ἀκανόνιστος γνώμη τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου τῆς Ἀντιοχέων καὶ τῶν ἅμα αὐτῶι εὐαριθμήτων τινῶν, ἀφ' ὧν ἐνεωτέρισε καὶ κατὰ τῶν θεσμῶν τῶν ἐκκλησιαστικῶν ἠτάκτησε, δήλη τῆι ὑμετέραι γεγένηται ὁσιότητι. ὅθεν καὶ ἡμεῖς τὰ ἐκείνωι τετολμημένα καθ' ἡμῶν διὰ λιβέλλου ἀνεδιδάξαμεν τὴν ὑμετέραν
L III 645 ἁγιωσύνην, καὶ κανονικῶς κινούμενοι κεκλήκατε δι' ὁσιωτάτων ἐπισκόπων συστῆναι αὐτὸν τοῖς παρ' αὐτοῦ παρὰ τοὺς θεσμοὺς τοὺς ἐκκλησιαστικούς, μᾶλλον δὲ κατὰ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας ἡμαρτημένοις καὶ ἀπολογήσασθαι ἐφ' οἷς κατὰ τῶν κανόνων ἐθρασύνετο. ἀλλὰ σαθρῶι τῶι συνειδότι κεχρημένος ὑπακοῦσαι οὐκ ἠβουλήθη κληθείς. τούτου χάριν τὴν ἁγίαν καὶ οἰκουμενικὴν ὑμῶν παρεκαλέσαμεν σύνοδον τὰ μὲν παρ' ἐκείνου ἀθέσμως πραχθέντα καὶ τῶν ἅμα αὐτῶι εὐαριθμήτων ὄντων, ὧν τινὲς μὲν αἱρετικοὶ τυγχάνουσι, τινὲς δὲ μηδὲ πόλεις ἔχοντες καὶ ἕτεροι πολλαῖς αἰτίαις ὑπεύθυνοι ὄντες, ἀργὰ ἀφ' ἑαυτῶν καὶ ἀνίσχυρα τυγχάνοντα διὰ τὸ ἐφ' ὕβρει τῆς τῶν κανόνων εὐταξίας τετολμῆσθαι, καταλυθῆναι καὶ ψήφωι τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τήν τε ἡμετέραν ἀποδεχομένους ἔνστασιν περὶ τὴν ὀρθόδοξον πίστιν, ἣν παρὰ τῶν ἁγίων πατέρων παρειλήφαμεν, ὁρίσαι κατ' ἐκείνων τὸ παριστάμενον.

12 Ἡ ἁγία σύνοδος εἶπε· Μηδεμίαν ἰσχὺν μηδὲ ἀκολουθίαν ἔχειν τὰ πεπραγμένα, ἐπὶ πᾶσιν ἀκανονίστως Ἰωάννου κινηθέντος, ἐκ τῶν πεπραγμένων δεδήλωται. ἦ γὰρ ἂν ἐθάρσησε προσκαλούμενος παρὰ τῆς ἁγίας συνόδου συστῆναι τοῖς παρ' αὐτοῦ νεωτερισθεῖσιν, εἴ τινα εἶχεν εὔλογον ἀκολουθίαν τὰ πεπραγμένα. ὅθεν ταῦτα μὲν οὐδὲ τὴν ἀρχὴν ἰσχυρὰ ὄντα οὔτε κανονικῶι γεγονότα λόγωι ἀνίσχυρα ἡ ἁγία σύνοδος ἀποφαίνεται, οὐδενὶ τῶν ὑβρισμένων πρόκριμα φέρειν δυνάμενα· τὸ δὲ ἀκόλουθον καὶ τὸ ἐπιβάλλον ἑαυτῆι ποιοῦσα ἡ

---

V, P [= hk], S, D [= mn], $A\Lambda^{l}\Lambda^{c}\Lambda^{u}$

2 φρονῶν καὶ πράσσων S    εἰσ P    4 ἀντιοχέων PS    ἐπίσκοπον om. SDAΛ    τε καὶ VP    5 σύνοιδε V    πεπραχὼς — ἡμῶν SDAΛ πεπραχῶσ V πεπραχότι P    7 ἡμῶν S    ἐπείπερ S    πέπρακτο V    8 ἐπειδὴ δὲ $VP\Lambda^{tu}$ ἐπειδὴ $\Lambda^{c}$ ἀλλ' ἐπειδὴ SDA    9 ἡμᾶσ VP    10 ἑαυτῶ P ἑαυτοῦ V    11 ἡμῖν S    παρανομίαν αὐτοῦ S    ὅθεν καὶ D    12 μὲν om. V    13 εἰς om. P    14 καὶ ἐννόμω VP    14/15 ὑπαχθῆναι A    16 Ἐφέσου om. $\Lambda^{tu}$    18 ἡμετέρα S    γέγονεν V    19 ἐδιδάξαμεν S    19/20 τὴν ὑμετέραν ὁσιότητα V τῆ ὑμετέρα ἁγιωσύνη D    22 ἐθρασύνατο SA    ἀλλὰ om. S    23 τῶι om. SDA    24 ἁγίαν — ὑμῶν DA ἁγίαν ὑμῶν καὶ οἰκουμενικὴν PS ἁγίαν σύνοδον ὑμῶν καὶ οἰκουμενικὴν V    σύνοδον παρεκάλεσαμεν P παρεκαλέσαμεν V    26 ἕτεροι $PSDA\Lambda^{u}$ ἕτεροι δὲ V *hi* $\Lambda^{tc}$    27 τετολμᾶσθαι P τετολμημένα D    28 γε A    ὑμετέραν D    δεχομένουσ VP    29 κατειλήφαμεν S    31 πᾶ P    ἔχει $\Lambda^{u}$    32 ἐθάρρησε D    33 προκαλούμενοσ P    34 εὔκολον P    πεπραγμένα VPΛ παρ' αὐτοῦ πεπραγμένα SDA    ταῦτα SDAΛ τὰ VP    μηδὲ VP    35 οὔτε] ὡσ οὐ P    36 ἀκόλουθον δὲ A    αὐτῆ S

ἁγιωτάτη σύνοδος τὰ μὲν τήμερον πεπραγμένα ἀνοίσει εἰς γνῶσιν τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων, ὥστε μηδὲν ἀγνοηθῆναι τῶν θρασέως ἐφ' ὕβρει τῆς ἁγίας συνόδου παρὰ Ἰωάννου τετολμημένων, ὁ δὲ εὐλαβέστατος ἐπίσκοπος Ἰωάννης καὶ τρίτηι προσκληθεὶς κλήσει εἰ μὴ ἀπαντήσειε, τηνικαῦτα τὰ ἐκ τῶν κανόνων αὐτῶι ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ψηφιεῖται.

13 Τοῖς μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν Φλαυίου Θεοδοσίου τὸ τρισκαιδέκατον καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ τρίτον τῶν αἰωνίων αὐγούστων πρὸ δεκαὲξ Καλανδῶν Αὐγούστων, M IIII 1317 d 17. m. Iul a 431

[τῆι αὐτῆι ἡμέραι] τῆς ἁγίας συνόδου καθεσθείσης ἐκ τῆι αὐτῆι ἐκκλησίαι τῆι καλουμένηι Μαρίαι, τῶν θεοσεβεστάτων ἐπισκόπων,

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· Τῆι προτεραίαι τῆς ὑμετέρας ὁσιότητος ἐνθάδε συνεδρευούσης, παρόντων δὲ καὶ τῶν ἀπὸ τῆς μεγάλης Ῥώμης ἀπεσταλμένων ληγάτων ἤτοι τοποτηρητῶν τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Κελεστίνου, βιβλία προσηγάγομεν ἐγώ τε καὶ ὁ θεοσεβέστατος ἐπίσκοπος Μέμνων τῆσδε τῆς Ἐφεσίων μητροπόλεως αἰτοῦντες εἰς τὴν ἁγίαν ταύτην καὶ οἰκουμενικὴν σύνοδον κληθῆναι τὸν εὐλαβέστατον Ἰωάννην τῆς Ἀντιοχέων καὶ τοὺς σὺν αὐτῶι τὴν καθ' ἡμῶν συνθέντας ὕβριν καὶ τῶι τῆς καθαιρέσεως ὀνόματι χρήσασθαι τολμήσαντας, ὥστε παρόντας ἀπολογήσασθαι καὶ ταῖς ἑαυτῶν συνειπεῖν ἀθυροστομίαις ἤτοι παρανόμοις ἐπιχειρήμασι. πάντα δὲ ἀκολούθως καὶ κανονικῶς ἡ ὑμετέρα πράττουσα θεοσέβεια κέκληκεν αὐτοὺς κλήσει πρώτηι καὶ δευτέραι, εὐλαβεστάτους καὶ θεοσεβεστάτους ἀποστείλασα ἐπισκόπους, καθὰ καὶ ἡ πίστις τῶν πεπραγμένων ὑπομνημάτων περιέχει· οἳ δὲ τοῖς παρ' ἑαυτῶν τολμηθεῖσιν οὐκ ἔχοντες ἐφαρμόσαι λόγους οὔτε μὴν ἀπολογίας ἀνευρίσκοντες τρόπους (ἦ γὰρ ἂν ἔδραμον εὐθὺς ἐπὶ τήνδε τὴν ἁγίαν καὶ μεγάλην σύνοδον οἷς ἔδρασαν, συστησόμενοι), πρᾶγμα πεποιήκασιν αἰσχρόν τε καὶ ἀγυρτῶδες καὶ τοῖς ἐν ἀγορᾶι πρέπον. δέον, εἴπερ ἐβούλοντό τι τῆι μεγάληι ταύτηι συνόδωι καταστῆσαι φανερόν, ἀφικέσθαι μᾶλλον μετ' εὐταξίας καὶ τῆς πρεπούσης Χριστιανοῖς εὐκοσμίας εἰπεῖν τε ἃ δεῖ καὶ ἀκοῦσαι, καίτοι μηδενὸς τοῦ κωλύοντος ὄντος αὐτούς (οὐ γὰρ ἑστήκασι στρατιῶται πρὸ τῆς ἁγίας συνόδου, καθὰ καὶ πρὸ τῶν οἰκημάτων ἐν οἷς εἰσι), χαρτίον συνθέντες ἀπονοίας τε ὁμοῦ καὶ ἀμαθίας μεστὸν προύθεσαν δημοσίαι, πᾶσαν εἰς θορύβους, μᾶλλον δὲ εἰς κατάγνωσιν τῆς ἑαυτῶν δυσβουλίας διανιστάντες τὴν πόλιν. εἰ μὲν οὖν τοῦτο πεπράχασιν, ἵνα λυπώμεθα θεωροῦντες ἀσχημονοῦσαν ὑπόληψιν ἀδελφῶν

L III 648

---

V, P [= bk], S, D [= mn], ΛΛtΛcΛu

1 εὐλαβεστάτων VP 2 θρασέως om. P 3 παρα Ἰωάννου om. Λtu ἐπίσκοπος om. SDA προκληθεὶσ V 4 ἀπαντήσειε VPΛ ὑπακούσειε SDA τηνικαῦτα τὰ P τηνικαῦτα V τὸ τηνικαῦτα SDA 5 ψηφιεῖται VPΛ τὸ ἐποφειλόμενον καταψηφιεῖται SDA

6 superscr. πρᾶξισ β SD κύριλλοσ ἐπίσκοποσ ἀλεξανδρείασ εἶπε P Τοῖς om. P 7 Φλαυίου om. SA οὐαλεντιανοῦ D 7/8 *XVI* [*VI* Λu] *Kl. Aug.* Λ πρό δέκα καλανδῶν αὐγούστων VP om. SDA 9 τῆ — ἡμέρα VPSDAΛu om. Λtc ἁγίασ Λtc αὐτῆσ ἁγίασ PAΛ αὐτῆσ ἁγιωτάτησ D ἁγίασ αὐτῆσ VS καθεσθέντων V 10 τῶν — ἐπισκόπων et participium et nomina desunt θεοσεβεστάτων Λ θεοφιλεστάτων SDA θεοφιλεστάτων καὶ θεοσεβεστάτων V θεοσεβεστάτων καὶ θεοφιλεστάτων P 11 νη' D ἐνταῦθα SDA 12 συνεδρευσάσησ D καὶ om. SΛu λεγάτων V 13 θεοφιλεστάτου VP προηγάγομεν D 14 θεοφιλέστατοσ P θεοφίλεστοσ V 15 καὶ οἰκουμενικὴν ταύτην VP ἐπίσκοπον ἰωάννην V 16 ἀντιοχέων ἐπίσκοπον P ἀντιοχέων ἐπισκοπῆσ V τὴν [om. A] καθ' [μεθ' A] ἡμῶν σὺν αὐτῷ SDA συντιθένταϲ V 17 χρήσασθαι SDAΛ προορίσασθαι VP αὐτῶν A 18 δὲ om. V 19 κεκλήκατε A πρώτη VPΛ μιᾶ SDA 20 θεοφιλεστάτουσ VPΛc καὶ om. P 21 παρ' VPΛ om. SDA τολμηθεῖσιν PΛ τολμήμασιν VSDA 22 εὑρίσκοντεσ P 26 τοῦ — ὄντοσ V τοῦ κωλύοντοσ P τοῦτο [εἰσ τοῦτο A] κωλύοντοσ SDA 28 ὁμοῦ SDAΛ om. VP 29 αὐτῶν S 30 θεωροῦντασ P, corr. k in mg.

καὶ γελωμένην παρὰ πάντων, ἀρκούντως λελυπήμεθα· πλειστάκις γὰρ τοῦτο δράσαντες
ἐγελάσθησαν. εἰ δὲ ἀληθῶς, ὡς ἐν τῶι παρ' αὐτῶν προτεθέντι χαρτίωι περιέχει, ὡς
ἐξάρχους ἡμᾶς τῆς Ἀπολιναρίου γεγονότας αἱρέσεως ἤτοι τὰ ἐκείνου πεφρονηκότας πώποτε
διελέγχειν ἔχουσι, καὶ νῦν ἡκέτωσαν, διελεγχέτωσαν, ἀποφαινέτωσαν αἱρετικούς, εἰ δύνανται,
καὶ μὴ ῥήμασιν ἁπλῶς περιυβριζέτωσαν κενοῖς, ἐννοοῦντες τὴν θείαν ἀγανάκτησιν· ἔφη γάρ
Prou. 21, 28 που θεὸς ὁ τῶν ὅλων κριτὴς ὅτι μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται, καὶ διὰ φωνῆς τοῦ
Ps. 49, 20 μακαρίου Δαυίδ· καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις. ἡμεῖς γὰρ
οὔτε τὰ Ἀπολιναρίου πεφρονήκαμεν πώποτε οὔτε τὰ Ἀρείου οὔτε τὰ Εὐνομίου, ἀλλ' ἐκ μι-
M IIII 1320 κρᾶς ἡλικίας τὰ ἱερὰ γράμματα μεμαθήκαμεν καὶ εἰς χεῖρας πατέρων τεθράμμεθα ὀρθοδόξων
καὶ ἁγίων, ἀναθεματίζομεν δὲ καὶ Ἀπολινάριον καὶ Ἄρειον καὶ Εὐνόμιον καὶ Μακεδόνιον
Σαβέλλιον Φωτεινὸν Παῦλον καὶ Μανιχαίους, καὶ ἑτέραν δὲ πᾶσαν αἵρεσιν καὶ πρὸς τούτοις
ἔτι τὸν τῶν νέων βλασφημιῶν εὑρετὴν Νεστόριον καὶ τοὺς τούτου κοινωνοὺς καὶ ὁμόφρονας καὶ
τοὺς φρονοῦντας τὰ Κελεστίου ἤτοι Πελαγίου, οὐ πεφρονηκότες τὰ ἐκείνων πώποτε οὐδὲ
νῦν ἐκ μετανοίας εἰς τὸ θέλειν τὰ ὀρθὰ φρονεῖν ἀφιγμένοι, ἀλλ', ὡς ἔφην, ἐντεθραμμένοι
τοῖς ὀρθοῖς καὶ ἀποστολικοῖς τῆς ἐκκλησίας δόγμασιν. ἐπειδὴ δὲ χρὴ τοὺς ἅπαξ τεταγμέ-
νους εἰς ἱερωσύνην ἀληθεῖς ὁρᾶσθαι κἀκεῖνα λαλεῖν ἅπερ ἴσασιν οὕτως ἔχειν, καὶ νῦν πα-
ρακαλοῦμεν τὴν ἁγίαν ταύτην καὶ μεγάλην σύνοδον μεταπέμψασθαι κανονικῶς αὐτόν τε τὸν
εὐλαβέστατον Ἰωάννην τὸν τῆς Ἀντιοχέων καὶ τοὺς σὺν αὐτῶι τὴν καθ' ἡμῶν συνθέντας
συκοφαντίαν· ἔστι γὰρ ἀκόλουθον αὐτοὺς καὶ ἀναγκαῖον παρόντας ἢ αἱρετικοὺς ἡμᾶς δεῖξαι
I. III 649 καὶ τὰ Ἀπολιναρίου πεφρονηκότας, καθά φασιν, ἢ γοῦν ἀνανεύοντας τὴν ἄφιξιν καὶ ὀκνοῦντας
πρὸς τοὺς ἐλέγχους αὐτόθεν καταγινώσκεσθαι, μάλιστα ὅτι, καθὰ πάλιν ἐν τῶι προτεθέντι
παρ' αὐτῶν χαρτίωι γέγραπται, ψυχρὰς καὶ ἑώλους συκοφαντίας εἰς τὰς τῶν εὐσεβεστάτων
βασιλέων ἀνενηνόχασιν ἀκοάς. δεῖ δὲ μάλιστα ὑμῶν τὴν ὁσιότητα πλείστην θέσθαι
φροντίδα τοῦ μὴ παραλογίζεσθαι πρός τινος τὰς εὐσεβεῖς τῶν κρατούντων ἀκοάς, εἰδυῖαν
Prov 24, 22b τὸ εἰρημένον παρὰ τῆς θείας γραφῆς· μηδὲν ψεῦδος ἀπὸ γλώσσης βασιλεῖ λε-
γέσθω καὶ οὐδὲν ψεῦδος ἀπὸ στόματος αὐτοῦ οὐ μὴ ἐξέλθηι.

14 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀκόλουθος καὶ νῦν ἡ αἴτησις τῶν θεοφιλεστάτων καὶ ὁσιωτάτων ἐπισκόπων Κυρίλλου τῆς Ἀλεξανδρείας καὶ Μέμνονος τῆς Ἐφεσίων. ὅθεν καὶ κατὰ τὴν σήμερον ἡμέραν διαβάντες θεοφιλέστατοι ἐπίσκοποι Δανιὴλ καὶ Κόμοδος καὶ Τιμόθεος μετὰ παραναγνωστικοῦ ὑπομνήσουσι τὸν εὐλαβέστατον Ἰωάννην τὸν τῆς Ἀντιοχέων ἐπίσκοπον ἐλθόντα μετὰ τῶν ἅμα αὐτῶι τὴν αἰτίασιν ὑπομεινάντων τὴν ἀπολογίαν ὧν ἐγκαλοῦνται, ποιήσασθαι.

15 Καὶ ἀπελθόντων τῶν εὐλαβεστάτων ἐπισκόπων Δανιήλου Κολωνείας καὶ Κομόδου Τρι-

---

V, P [= hk], S, D [= mn], ΑΛ$^t$Λ$^c$Λ$^u$

2 ἐφωράθησαν Α   ὡς om. SDA   3 ἀπολλιναρίου S   4 ἡκέτωσαν] *aut quandoque* Λ$^u$   ἐλεγχέτωσαν D   5 κενοῖσ VPSn κἀκείνοισ mA γρ κενοῖσ m in mg   6 ὁ θσ̄ ὁ VP   8 ἀπολλιναρίου S   οὔτε ἀρείου οὔτε εὐνομίου S   9 τεθραύμεθα D   10 καί$^1$ om. V   δὲ ἀπολλινάριον S   11 καὶ σαβέλλιον ΡΛ$^c$   δὲ om. SD   12 τούτων Λ   καί$^3$ om. D   13 ἤγουν S   οὔτε SDA   15/16 τεταγμένουσ SDAΛ τεθραμμένουσ V τεθειμένουσ P   17 μεγάλην ταύτην καὶ ἁγίαν VP   τε SDAΛ om. VP   18 τὸν τῆσ ἀντιοχέων [ἀντιοχείασ DA] SDAΛ τῆσ ἀντιοχέων ἐπίσκοπον VP   συντιθέντασ V   20 ἀπολλιναρίου S   21 αὐτόθι μάλιστα καταγινώσκεσθαι V   μάλιστα P   καθὰ om. Λ$^u$   21/22 παρ' αὐτῶν προτεθέντι S   22 ὡσ ψυχρὰσ VP   εὐσεβῶν P   23 ἐνηνόχασιν V   24 τινοσ DAΛ$^c$ τινων VP om. S   25 ἁγίασ D   μηδὲ S   25/26 λογιζέσθω S   27 ν̄η S   28 ἀλεξανδρέων PS   τῶν A   καὶ om. ΑΛ$^{tu}$   29 οἱ θεοφιλέστατοι P   30/31 ἰωάννην — ἐπίσκοπον [ἐπίσκοπον om. S] SDAΛ ἐπίσκοπον ἰωάννην τὸν τῆσ ἀντιοχέων [ἀντιοχείασ V] VP   33 ἀπελθόντων τῶν εὐλαβεστάτων VPΛ ἀπῆλθον οἱ εὐλαβέστατοι SDA   *episcopis Danihele* Λ δανιήλου VP ἐπίσκοποι δανιὴλ SDA   κολωνίασ V ὁ κολωνείασ S   κόμοδοσ SDA

πόλεως Λυδίας καὶ Τιμοθέου Γέρμης Ἑλλησπόντου μετὰ Μουσωνίου νοταρίου μετὰ παραναγνωστικοῦ περιέχοντος οὕτως

16 Ἐπειδὴ εἰρηνικῶς τὰ τῶν κανόνων βουλομένη τυποῦν ἡ ἁγία σύνοδος διττῆι κλήσει ἐκάλεσε τὴν σὴν εὐλάβειαν καὶ οὐχ ὑπήκουσας, ὥστε ἢ συστῆναι οἷς ἐφύβρισας, ἢ διορθώσασθαι, τούτου ἕνεκεν τέως μὲν ἡ ἁγία σύνοδος οὐδὲν ἐπισκοπικὸν συγχωρεῖ σοι πράττειν ἐξ οἰκείας ἀποφάσεως οὐδέ τινι τῶν μετὰ σοῦ· εἰ δὲ τῆι τρίτηι ταύτηι κλήσει μὴ ὑπακούσας παραγένοιο, τὰ τοῖς κανόσι δοκοῦντα ἐφ' ὑμῖν ὁρισθήσεται

17 καὶ ἐπανελθόντων, Δανιὴλ ἐπίσκοπος Κολωνείας εἶπε· Παρεγενόμεθα ὅπου προσέταξεν ἡ θεοσέβεια ὑμῶν, τουτέστιν εἰς τὴν οἰκίαν τοῦ θεοσεβεστάτου ἐπισκόπου Ἰωάννου, καὶ μήκοθεν μὲν κατέβημεν τῶν ὑποζυγίων, μετὰ πολλῆς δὲ τῆς παρακλήσεως δεδηλώκαμεν τοῖς κληρικοῖς ὅτιπερ παρεγενόμεθα ἀποσταλέντες παρὰ τῆς ἁγίας ὑμῶν συνόδου. εὕρομεν M IIII 1321 δὲ ἐκεῖ ἑστῶτα Ἀσφάλιον τὸν πρεσβύτερον, ὅς ἐστι μὲν τῆς Ἀντιοχέων ἐκκλησίας, ἐκδικεῖ δὲ ἐν Κωνσταντινουπόλει τὰ πράγματα τῆς αὐτῆς ἐκκλησίας. οὗτος ἐγγύτερον ἡμᾶς ἤγαγε τοῦ οἴκου ἐν ὧι μένει ὁ θεοσεβέστατος ἐπίσκοπος Ἰωάννης, καὶ συνῆν ἡμῖν κωλύων τοὺς ἐπερχομένους. τοῖς δὲ στρατιώταις ὁμολογοῦμεν χάριν· διὰ γὰρ τοῦ γνωρίσαι τὸν πάντα θεοσεβέστατον ἐπίσκοπον Κόμοδον τῶι εἶναι ἐν τῆι πόλει αὐτοῦ ἐγκαθεστῶτας, ἐπέσχον πάντας τοὺς καθ' ἡμῶν ὡρμημένους κληρικούς. μηνυσάντων δὲ αὐτῶι Ἀσφαλίου καὶ ἑτέρων κληρικῶν, κατῆλθε πρὸς ἡμᾶς ὁ ἀρχιδιάκονος αὐτοῦ (τὸ μὲν ὄνομα αὐτοῦ οὐκ ἴσμεν, ἐστὶ δὲ σπανὸς ὁ ἄνθρωπος, ὕπωχρος μικροφυής) ἐπιφερόμενος χαρτίον, ὃ προσφέρων ἡμῖν ἔλεγεν ὅτι ἡ ἁγία σύνοδος ὑμῖν ἀπέστειλε τοῦτο ὥστε ὑποδέξασθαι. εἰρήκαμεν· ἡμεῖς ἀπεστάλημεν εἰπεῖν τὰ παρὰ τῆς ἁγίας συνόδου, οὐ μὴν δέξασθαι γραμμάτιον. οὔτε γὰρ ἡμεῖς χάρτην ἐκομίσαμεν οὔτε ὑποδεχόμεθα χάρτην, δήλωμα δὲ εἰρηνικὸν L. III 652 ἐκομίσαμεν. παρακαλεῖ γὰρ ἡ ἁγία σύνοδος συνεδρεῦσαι τὸν κύριν Ἰωάννην καὶ ἀπαντῆσαι εἰς τὴν σύνοδον. ἀπεκρίνατο ἡμῖν ὁ ἀρχιδιάκονος· οὐκοῦν ἐκδέξασθε ἵνα μηνύσω ταῦτα τῶι ἐπισκόπωι. ὑπέστρεψε καὶ ἐπανελθὼν πάλιν προσήγαγεν ἡμῖν τὸ αὐτὸ χαρτίον, λέγων τοῦτο· μήτε ὑμεῖς πέμπετε πρὸς ἡμᾶς, οὔτε ἡμεῖς πέμπομεν πρὸς ὑμᾶς· τύπον γὰρ ἐκδεχόμεθα παρὰ τοῦ βασιλέως, ἐπειδήπερ ἅπαξ ἐκεῖ τὰ δόξαντα ἡμῖν ἀνηνέγκα- cp. 153 μεν. ἡμῶν δὲ εἰρηκότων ὅτι οὐκοῦν ἀκούσατε καὶ τὰ παρὰ τῆς συνόδου, ἀπεπήδησε λέγων· οὐκ ἐδέξασθε τὸ χαρτίον, οὐκ ἀκούω τὰ τῆς συνόδου. ταῦτα μὲν οὕτως· Ἀσφαλίωι δὲ προπέμποντι ἡμᾶς καὶ Ἀλεξάνδρωι πρεσβυτέροις εἴπομεν ταῦτα ὅτι ἡ ἁγία σύνοδος τὰ σπλάγχνα τῆς εἰρήνης καὶ τῆς ἀγάπης καὶ τῆς χρηστότητος ἐπιδείκνυται πρὸς τὸν κύριν Ἰωάννην καὶ μάλιστα μέν, ἐπειδὴ κληθεὶς δεύτερον οὐκ ἠβουλήθη παραγενέσθαι, ἐδικαίωσεν αὐτὸν μηδὲν ἱερατικὸν πράττειν· τῆι δὲ τρίτηι κλήσει παρακαλεῖ αὐτὸν συνελθεῖν, ἵνα μὴ ἀναγκασθῆι κανονικόν τι κατ' αὐτοῦ ἐξενεγκεῖν.

---

V, P [= hk], S, D [= mn], ΑΛtΛcΛu

1 Λυδίας om. P τιμόθεοσ SDA *germi* Λu τέρμησ SDA *termarum* Λc πέρμησ VP om. Λt 1/2 τοῦ παραναγνωστικοῦ VP 4 ἐφ' οἷσ ὕβρισασ VP 5 τέωσ μὲν PS *tantisper* Λ τέωσ V om. DA ἐπισκόπων P 6 ταύτηι om. A 7 μὴ ὑπακούσασ VPΛc ὑπακούσασ μὴ SDAΛtu 8 ἐπανελθόντων S ἐπανελθόντων αὐτῶν VPDA δανιήλοσ Scorr κολωνείασ SDAΛc om VPΛtu 9 θεοφιλεστάτου SDA 10 ἐδηλώσαμεν VP 11 ὅτι P 12 ἑστῶτασ P 13 τὰ πράγματα — ἐκκλησίασ ἐν κωνσταντινουπόλει S αὐτός Λc 14 εὐλαβέστατοσ S συνῆν VP σὺν SDΛ om. A κωλύον Sn 15 ὡμολογοῦμεν S 16 ἐγκαθεστῶτεσ D 17 ἀσφιλειαν S 18 αὐτοῦ om. PΛ τὸ — αὐτοῦ] οὗ τὸ μὲν ὄνομα S 19 ὁ om. P ὑπόχροοσ P 20 ἀπέστειλεν ὑμῖν [ἡμῖν S] SDA ἀποδέξασθαι A 21/22 γραμματεῖον SD *scripturam* Λ γράμματα V 22 οὔτε ἡμεῖσ SD οὐδὲ A 22/23 δήλωμα — ἐκομίσαμεν om. S 23 κῦριν PD compendio scribunt SA *domnum* Λc *sanctum* Λtu κύριον V 24 ἀπεκρίθη SDA 25 προσῆγεν A 26 τοῦτο PSDΛ οὕτω V οὕτωσ A πέμψομεν SD 27 τὰ δόξαντα ἡμῖν ἐκεῖ SDA 28 καὶ τὰ [τά om D] — συνόδου ἀκούσατε SDA συνόδου VPSAΛc ἁγίασ συνόδου DΛtu ἐπεπήδησε P ἀπεδήμησε A 30 πρεσβυτέρῳ S εἴπαμεν P 32 κῦριν n compendio scr. S *domnum* Λc *sanctum* Λtu κύριον VPmA 33 ἐδικαίωσεν VPΑΛ ἐβεβαιώσαμεν SD

18 Κόμοδος ἐπίσκοπος Τριπόλεως τῆς Λυδίας εἶπε· Συνωιδὰ τοῖς εἰρημένοις παρὰ τοῦ θεοσεβεστάτου καὶ ὁσιωτάτου ἐπισκόπου Δανιήλου καὶ ἡμεῖς καὶ ἐθεασάμεθα καὶ κατατιθέμεθα τὰ αὐτά.

19 Τιμόθεος ἐπίσκοπος Γερμῶν Ἑλλησπόντου εἶπε· Συνωιδὰ τοῖς εἰρημένοις παρὰ τοῦ θεοσεβεστάτου καὶ ὁσιωτάτου ἐπισκόπου Δανιήλου καὶ ἡμεῖς καὶ ἐθεασάμεθα καὶ κατατιθέμεθα.

20 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀκολούθως καὶ νῦν ἡ ὑπόμνησις γεγένηται παρὰ τῶν θεοσεβεστάτων ἐπισκόπων Δανιήλου καὶ Κομόδου καὶ Τιμοθέου καὶ τὴν αἰτίαν δηλωσάντων ἐφ' ἧι ἀπεστάλησαν, καὶ εἰς ἱερατικοὺς ἀνενεγκόντων τὴν γνῶσιν, ὡς μηδὲν ἀγνοῆσαι τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην τῶν δηλωθέντων μηδὲ ἔχειν σκήψει τινὶ χρήσασθαι εἰς ἀπολογίαν τὴν ἄγνοιαν προβαλλόμενον.

21 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ὅτι πάρειμι καὶ νῦν ἐξαιτῶν ἀπολογίας ἅμα
M IIII 1324 τῶι εὐλαβεστάτωι ἐπισκόπωι Μέμνονι ὑπὲρ ὧν εἰς ἡμᾶς πεπλημμέληκε παρὰ τοὺς θεσμοὺς τῆς ἐκκλησίας καὶ παρὰ πάντα λόγον ὁ εὐλαβέστατος τῆς Ἀντιοχέων Ἰωάννης, ἡ ἁγία ὑμῶν σύνοδος συνορᾶι, καὶ ἐστὶν οὐκ ἀμφίβολον ὡς εἴπερ ἐδεδίειμεν τοὺς παρ' αὐτῶν ἐλέγχους, οὐκ ἂν ἐχρησάμεθα τοιαύτηι παρρησίαι, ὥστε παρακαλέσαι καὶ τρίτηι ταύτηι κλήσει προτραπῆναι τὸν μνημονευθέντα ἐλθεῖν καὶ χρήσασθαι οἷσπερ ἂν βούλοιτο καθ' ἡμῶν λόγοις. ἐπειδὴ δὲ ὑπερθέσεις πλάττεται ποικίλας, ἄλλοτε ἄλλας ἐπινοῶν ἀφορμάς (ὁ
Iob 11, 12 γὰρ ἀλοὺς νήχεται λόγοις κατὰ τὸ γεγραμμένον), ἀκόλουθόν ἐστι τὴν ἁγίαν ταύτην καὶ οἰκουμενικὴν σύνοδον τὰ τοῖς ἐκκλησιαστικοῖς δοκοῦντα θεσμοῖς ἀποκρίνασθαι.

90 Ἡ ἁγία σύνοδος εἶπεν· Ἔδει μὲν κανονικῶς κινηθεῖσαν τὴν ἁγίαν ταύτην σύνοδον ἐπὶ ταῖς ὕβρεσι ταῖς κατὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ τοῦ θεοφιλεστάτου καὶ ὁσιωτάτου συνεπισκόπου Μέμνονος ταῖς γενομέναις παρὰ τοῦ εὐλα-
L III 653 βεστάτου ἐπισκόπου τῆς Ἀντιοχέων Ἰωάννου καὶ τῶν σὺν αὐτῶι μετὰ τὴν τρίτην ταύτην κλῆσιν τὴν παρ' ἡμῶν γενομένην, ἧς οὐδαμῶς ὑπακοῦσαι ἠνέσχετο οὔτε μὴν ἀπαντῆσαι εἰς τὸ συνέδριον τῆς ἁγίας συνόδου καὶ ἐμφανεῖς καταστῆσαι τὰς αἰτίας δι' ἃς παρὰ τοὺς θεσμοὺς καὶ τοὺς κανόνας τῆς ἐκκλησίας ἐπὶ τοιοῦτον ὥρμησαν νεωτερισμόν, ἀξίαν τῆς τοσαύτης ἀπονοίας ἐξενεγκεῖν κατ' αὐτοῦ τε καὶ τῶν σὺν αὐτῶι τὴν ἀπόφασιν· ἐπειδὴ δὲ ἐπισκοπικῆς χρηστότητος ἔργον εἶναι ἐλογισάμεθα μακροθυμίαι βαστάσαι τὰ γεγονότα, τέως μὲν ἐπὶ τοῦ παρόντος κατὰ τὰ ἤδη τετυπωμένα ἀλλότριος ἔστω αὐτός τε Ἰωάννης καὶ οἱ σὺν αὐτῶι τοῦτο δραματουργήσαντες

2 Ἰωάννης Δαμασκοῦ
3 Ἀλέξανδρος Ἀπαμείας

---

30 sq. idem catalogus extat in 91

---

V, P [= hk], S, D [= mn], $ΑΛ^{t}Λ^{c}Λ^{u}$

1 λυκίασ P   2 καὶ ἡμεῖσ καὶ ΑΛ καὶ ἡμεῖσ VPSD   3—6 τὰ αὐτά — κατατιθέμεθα om. D   3 τὰ αὐτά om. Λ ταῦτα SA   4 *gernon hellisponti* $Λ^{u}$ τέρμησ ἑλλησπόντου $ΑΛ^{tc}$ ἑλλησπόντου τέρμησ S πέρμησ ἑλλησπόντου VP   5 ἐπισκόπου om SA   καὶ ἡμεῖς καὶ $Λ^{c}$ ἡμεῖσ καὶ S καὶ ἡμεῖσ $VPDAΛ^{t}$ om. $Λ^{u}$   5/6 κατατιθέμεθα τὰ αὐτά P   7 ἀκόλουθοσ SDA   8 καὶ[1] om. S   9 ἱερατικὴν $SDΛ^{tu}$   ἀνενεγκάντων A   11 προβαλλόμενοσ P   12 νθ' D   Ἀλεξανδρείας om. $Λ^{tu}$   ἀπολογίαν PΛ   13 ἐπισκόπωι om. S   14 εὐλαβέστατοσ SDAΛ εὐλαβέστατοσ ἐπίσκοποσ VP   15 αὐτῶν SDAΛ αὐτοῦ VP   16 τῇ αὐτῇ D   17 ἡμᾶσ S   19 ταύτην om. S   21 $\overline{ϛ}$ V $\overline{πα}$ P $\overline{νθ}$ S   τὴν — ταύτην κινηθεῖσαν S   ἁγίαν om. Λ   22 θεοσεβεστάτου VP   23 καὶ ὁσιωτάτου om. D   ἐπισκόπου $PΛ^{c}$   παρὰ SDAΛ παρά τε VP   24 ἐπισκόπου om. $Λ^{tu}$   25 γινομένην S   ἢ S   ὑπακοῦσαι ἠνέσχετο $VPΛ^{tu}$ ἠνέσχετο ὑπακοῦσαι S ὑπακοῦσαι ἠνέσχοντο $DAΛ^{c}$   26 τῆσ — συνόδου om. S   27 ὥρμησεν $Λ^{u}$   ἀξίασ V   28 τοσαύτησ SDΛ τοιαύτησ VPA   κατὰ τούτου A   τε] γε D   29 ἐπισκοπῆσ PA   χρηστοτάτησ P   30 κατὰ] καταστῆσαι A   αὐτόσ τε [τε δ P] ἰωάννησ VPAΛ ὁ αὐτόσ ἰωάννησ SD   31 τούτω P   32—p. 25, 28 numeros α'—λδ' apponit P   [3] ἀπαμίασ V

[4] Δεξιανός
[5] Ἀλέξανδρος Ἱεροπόλεως
[6] Ἱμέριος Νικομηδείας
[7] Φριτίλας Ἡρακλείας
[8] Ἑλλάδιος Ταρσοῦ
[9] Μαξιμῖνος Ἀναζάρβου
[10] Δωρόθεος Μαρκιανουπόλεως
[11] Πέτρος Τραιανουπόλεως
[12] Παῦλος Ἐμίσης
[13] Πολυχρόνιος Ἡρακλεωτῶν πόλεως
[14] Εὐθήριος Τυάνων
[15] Μελέτιος Νεοκαισαρείας
[16] Θεοδώρητος Κύρου
[17] Ἀπρίγγιος Χαλκίδος
[18] Μακάριος Λαοδικείας τῆς μεγάλης
[19] Ζῶσυς Ἐσβοῦντος
[20] Σαλούστιος Κωρύκου Κιλικίας
[21] Ἡσύχιος Κασταβάλης Κιλικίας
[22] Οὐαλεντῖνος Μουτλουβλάκης
[23] Εὐστάθιος Παρνασοῦ
[24] Φίλιππος Θεοδοσιανῶν
[25—28] Δανιήλ, Ἰουλιανός, Κύριλλος, Ὀλύμπιος
[29] Διογένης ⟨Ἰωνο⟩πόλεως
[30] Θεοφάνιος Φιλαδελφείας [πώλιος]
[31] Ταριανὸς Αὐγούστης
[32] Αὐρήλιος Εἰρηνουπόλεως
[33] Μουσαῖος Ἀράδου
[34] Ἑλλάδιος Πτολεμαΐδος

τῆς ἐκκλησιαστικῆς κοινωνίας, μηδεμίαν ἔχοντες ἄδειαν ὡς ἐξ αὐθεντίας ἱερατικῆς εἰς τὸ δύνασθαί τινας βλάπτειν ἐκ ταύτης ἢ ὠφελεῖν, ἄχρις ἂν ἑαυτῶν καταγνόντες τὸ οἰκεῖον ὁμολογήσωσι σφάλμα, εἰδότες ὡς εἰ μὴ τοῦτο ἐν τάχει ποιήσειαν, τὴν τελείαν ἐκ τῶν κανόνων ἑαυτοῖς ἐπισπάσονται ἀπόφασιν, προδήλου κἀκείνου τυγχάνοντος ὅτι οὐδὲ τὰ ἤδη πρότερον παρ' αὐτῶν ἀθέσμως καὶ παρὰ τοὺς κανόνας ἐφ' ὕβρει τῶν θεοφιλεστάτων καὶ ἁγιωτάτων ἐπισκόπων καὶ προέδρων τῆς ἐκκλησίας Κυρίλλου καὶ Μέμνονος γενόμενα ἰσχὺν M IIII 1325
ἔχει τινὰ κατὰ τὰ ἤδη καὶ τῆι προτεραίαι διαλαληθέντα. ἀνενεχθήσεται δὲ πάντα τὰ πεπραγμένα ταῖς εὐσεβέσι καὶ φιλοχρίστοις ἀκοαῖς τῶν θεοφιλεστάτων βασιλέων, ὡς καὶ τὰς θείας ἀκοὰς γνῶναι τὰ παρακολουθήσαντα

---

V, P [= hk], S, D [= mn], ΛΛ¹ΛᶜΛᵘ

[4] *Dexianus Seleuciae* Λ [5] μεροπόλεωσ VA μητροπόλεωσ P [6] ἡμέριοσ S [7] φριτηλᾶσ VP φριτηρᾶσ A [9] μαξιμιανὸσ SDΛᶜ *Maximus* Λᵗᵘ ἀναβαρζοῦ S [12] ἐμέσησ P [13] πόλεωσ om. S [14] ἐπίσκοποσ τυάνων VP [15] μελίτιοσ SDA [16] θεοδώριτοσ DA τύρου P [17] χαλκηδόνοσ VP [19] ζωσῆσ P [20] κωρίκου P κουρίκου A [22] μουτλουβλάκκησ A *mutublacces* Λᵗ μουτλουβάκησ D [29] Ἰωνοπόλεως addidi cf [30] et p. 27[29] [30] θεοφάνησ VSDΛᵘ φιλαδελφίασ hS πώλιοσ V πώλλιοσ PΛ παλλάδιοσ SDA hoc loco deleui [31] τραιανὸσ VP ταρριανὸσ A [32] αὐρίλλιοσ S αὐρηλιανὸσ VP εἰρηνοπόλεωσ S [33] ἀρκαδιουπόλεωσ SDA [34] καὶ ἑλλάδιοσ VP

29 ὡς SDAΛ καὶ VP 31 σφάλμα] βλάσφημον P ὡς SDA ὅτι VP τάχιον P ποιήσαιεν V ποιήσειεν D 32 ἑαυτῶν S ἐφ' ἑαυτοὺσ VP 33 καὶ[1] om. VP 35 διαληφθέντα SD ἀνενεχθήσονται S

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων ὑπέγραψα

Ἑρμηνεία τῶν ὑπογραφῶν· Ἀρκάδιος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας ὑπέγραψα. Προίεκτος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας ὑπέγραψα. Φίλιππος πρεσβύτερος τῆς ἀποστολικῆς καθέδρας καὶ πρεσβευτὴς ὑπέγραψα.

Ὑπέγραψαν δὲ καὶ οἱ λοιποὶ πάντες.

**91** = S 61 A 40. Latina uersio ex codice Acoemitensium translata habetur in Collectione C 311 [uol. IIII 242. 243]

L III 802 1 Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ ἐν Ἐφέσωι συγκροτηθεῖσα ἐκ θεσπίσματος τῶν
M IIII 1469 εὐσεβεστάτων βασιλέων τοῖς καθ' ἑκάστην ἐπαρχίαν τε καὶ πόλιν ἐπισκόποις πρεσβυτέροις διακόνοις καὶ παντὶ τῶι λαῶι. Συναχθέντων ἡμῶν κατὰ τὸ εὐσεβὲς γράμμα ἐν τῆι Ἐφεσίων μητροπόλει, ἀπεστάτησαν τινὲς ἐξ ἡμῶν, ὄντες τὸν ἀριθμὸν τριάκοντα μικρῶι πρός, ἔξαρχον τῆς ἑαυτῶν ἀποστασίας ἐσχηκότες τὸν τῆς Ἀντιοχέων ἐπίσκοπον Ἰωάννην,
L III 803 ὧν καὶ τὰ ὀνόματά ἐστι ταῦτα

1 πρῶτος αὐτὸς Ἰωάννης ὁ Ἀντιοχείας Συρίας
2 καὶ Ἰωάννης Δαμασκοῦ
3 Ἀλέξανδρος Ἀπαμείας
4 Ἀλέξανδρος Ἱεραπόλεως
5 Ἱμέριος Νικομηδείας
6 Φριτίλας Ἡρακλείας
7 Ἑλλάδιος Ταρσοῦ
8 Μαξιμῖνος Ἀναζάρβου
9 Δωρόθεος Μαρκιανουπόλεως
10 Πέτρος Τραιανουπόλεως
11 Παῦλος Ἐμίσης
M IIII 1472 12 Πολυχρόνιος Ἡρακλεωτῶν πόλεως
13 Εὐθήριος Τυάνων
14 Μελέτιος Νεοκαισαρείας
15 Θεοδώρητος Κύρου
16 Ἀπρίγγιος Χαλκίδος
17 Μακάριος Λαοδικείας τῆς μεγάλης
18 Ζῶσυς Ἐσβοῦντος

---

91 Cf. ep. 113

---

V, P [= hk], S, D [= mn], ΛtΛcΛu

1—5 Ἰουβενάλιος — πάντες] *et subscripsit omnis synodus per episcopos centum nonaginta octo* Λu 1 ὑπέγραψα ἀποφηνάμενοσ P 2 ἑρμηνεία τῶν ὑπογραφῶν ante 1 Ἰουβενάλιος coll. P om. S 4 πρεσβύτερος] ἐπίσκοποσ SD τῆς — πρεσβευτής] καὶ πρεσβευτήσ τῆσ ἀποστολικῆσ καθέδρασ PS 5 δὲ om. S

VP [= hk], S, D [= mn], AWΛ et codices canonum [K = abcdeflpqrtuy]

ϟα V πβ P ξα SD inser. deest VPK Γράμματα ἀποσταλέντα παρὰ τῆσ ἁγίασ συνόδου τοῖσ καθ' ἑκάστην ἐπαρχίαν τὲ καὶ πόλιν ἐπισκόποισ πρεσβυτέροισ διακόνοισ [ὑποδιακόνοισ διακόνοισ W] καὶ λαικοῖσ περὶ τῶν ἀνατολικῶν ἐπισκόπων [καὶ — ἐπισκόπων om. D ἐπισκόπων om. AW] SDAW 8—10 Ἡ — διακόνοις om. D 8 συνόδος καὶ οἰκουμενική S 9 εὐσεβεστάτων] ἁγίων u τοῖς om. d 11 τῶν ἐφεσίων rt ἀπεστάτησαν SDAW ἀπέστησαν VPK 12 ἔξαρχον — p. 27[34] om. K 12 ἔξαρχον — Ἰωάννην om. W ἐπίσκοπον om. SDA 13 ταῦτα ἐστὶ τὰ ὀνόματα S [1] αὐτόσ SDAWΛ οὗτοσ VP τῆσ συρίασ VP [4] μεροπόλεωσ VA μητροπόλεωσ P [5] ἡμέριοσ S [6] φρίτηλασ W φριτηλᾶσ VP φριτηρᾶσ A [8] μαξιμιανὸσ SWΛ ἀναβαρζοῦ S [11] ἐμέσησ W [13] εὐθύριοσ V [14] μελίτιοσ SDAW [15] θεοδώριτοσ DAW τύρου P [16] ἀπρίγκιοσ V Χαλκίδος p. 25 [17] χαλκηδόνοσ VP ἀπαμείασ SDAW [18] om. V ζωσῆσ P ζώουσ W ἐβοῦντοσ P

[19] Σαλούστιος Κωρύκου Κιλικίας
[20] Ἡσύχιος Κασταβάλης Κιλικίας
[21] Οὐαλεντῖνος Μουτλουβλάκης
[22] Εὐστάθιος Παρνασοῦ
[23] Φίλιππος Θεοδοσιανῶν
[24—25] Δανιὴλ τε καὶ Δεξιανός
[26—27] Ἰουλιανός τε καὶ Κύριλλος
[28—29] Ὀλύμπιός τε καὶ Διογένης ⟨Ἰωνο⟩πόλεως
[30] Θεοφάνης Φιλαδελφείας
[31] Ταριανὸς Αὐγούστης
[32] Αὐρήλιος Εἰρηνουπόλεως
[33] Μουσαῖος Ἀράδου
[34] Ἑλλάδιος Πτολεμαΐδος

οἵτινες τῆς ἐκκλησιαστικῆς κοινωνίας, μηδεμίαν ἔχοντες ἄδειαν ὡς ἐξ αὐθεντίας ἱερατικῆς εις τὸ δύνασθαι τινὰς βλάπτειν ἐκ ταύτης ἢ ὠφελεῖν διὰ τὸ καὶ τινὰς ἐν αὐτοῖς εἶναι καθῃρημένους, πρὸ πάντων μὲν τὰ Νεστορίου καὶ τὰ Κελεστίου φρονήματα ἐπιφερόμενοι σαφέστατα ἀπεδείχθησαν ἐκ τοῦ μὴ ἑλέσθαι μεθ' ἡμῶν Νεστορίου καταψηφίσασθαι οὕστινας δόγματι κοινῶι ἡ ἁγία σύνοδος πάσης μὲν ἐκκλησιαστικῆς κοινωνίας ἀλλοτρίους ἐποίησεν, πᾶσαν δὲ αὐτῶν ἐνέργειαν ἱερατικὴν περιεῖλεν, δι' ἧς ἠδύναντο βλάπτειν ἢ ὠφελεῖν τινας.

2 Ἐπειδὴ δὲ ἐχρῆν καὶ τοὺς ἀπολειφθέντας τῆς συνόδου καὶ μείναντας κατὰ χώραν ἢ πόλιν διά τινα αἰτίαν ἢ ἐκκλησιαστικὴν ἢ σωματικὴν μὴ ἀγνοῆσαι τὰ περὶ αὐτῶν τετυπωμένα, γνωρίζομεν τῆι ὑμετέραι ἁγιότητί τε καὶ ἀγάπηι ὅτιπερ εἴτε ὁ μητροπολίτης τῆς ἐπαρχίας ἀποστατήσας τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου προσέθετο τῶι τῆς ἀποστασίας συνεδρίωι ἢ μετὰ τοῦτο προστεθείη ἢ τὰ Κελεστίου ἐφρόνησεν ἢ φρονήσει, οὗτος κατὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων διαπράττεσθαί τι οὐδαμῶς δύναται, πάσης ἐκκλησιαστικῆς κοινωνίας ἐντεῦθεν ἤδη ὑπὸ τῆς συνόδου ἐκβεβλημένος καὶ ἀνενέργητος ὑπάρχων, ἀλλὰ καὶ αυτοῖς τοῖς τῆς ἐπαρχίας ἐπισκόποις καὶ τοῖς πέριξ μητροπολίταις τοῖς τὰ τῆς ὀρθοδοξίας φρονοῦσιν ὑποκείσεται εἰς τὸ πάντηι καὶ τοῦ βαθμοῦ τῆς ἐπισκοπῆς ἐκβληθῆναι.

3 Εἰ δέ τινες ἐπαρχιῶται ἐπίσκοποι ἀπελείφθησαν τῆς ἁγίας συνόδου καὶ τῆι ἀποστασίαι προσετέθησαν ἢ προστεθῆναι πειραθεῖεν ἢ καὶ ὑπογράψαντες τῆι Νεστορίου καθαιρέσει

---

V, P [= hk[, S, D [= mn], A, W [usque ad 20 τινας], Λ, K [= abcdeflpqrtuy, inde a 14]
[19] om V [19—21] Κωρύκου — Οὐαλεντῖνος om W [19] κουρίκου A [21] μουτλουβλακκησ A μουτλουβάκησ SD βλάκησ W [22] παρνασσοῦ VP [24. 25] δοξιανὸσ W [28. 29] Ἰωνοπόλεως scripsi cf p 25 [28] πόλιος SD πόλλιοσ W πώλλιοσ P παλλαδιοσ A om V [30] φιλάδελφοσ SW [31] ταρριανὸσ W ταυριανὸσ S τραιανὸσ VP [32] αὐρίλιοσ S [33] ἀρκαδίου A [34] καὶ ἑλλαδιοσ P
14/15 τῆς — ὠφελεῖν om Λ 14 ἐκ τῆσ c κοινωνίασ ἠλλωτριώθησαν lrt 15 τινα VP ἐκ ταύτησ βλάπτειν pq ἐν αὐτοῖς] ἑαυτοῖσ c 16 Νεστορίου] κελεστίου W καὶ τὰ Κελεστίου om d τὰ om SDAWtu κελεστίνου elrt 17 σαφεστατοι S ἐν τῶ DΛ 19 καθεῖλεν u ἐδύναντο P 20 τινα f 21—p 28, 18 om W 21 κανὼν α' Smg D ᾱ K δὲ om du χρην y τῆσ VPSDAWΛ τῆσ ἁγίασ K ἢ] καὶ SDA 22 ἢ[1] om VP μὴ] ἢ S 23 ὁσιότητί τε καὶ ἀγάπῃ a ἀγάπῃ τε καὶ ἁγιότητι t τε om d εἴτε ὁ] εἴτισ ὁ r ειτισ lt ὁ y 23/24 ὁ τῆσ ἐπαρχίασ μητροπολίτησ SDA 24 ἀποστήσασ Su αποστατήσει d τε καὶ y καὶ οἰκουμενικῆς om t τὸ Pc om u 25 συνέδρω y προστεθειη η KΛ προστεθείο VPSDA τα] την d τοῦ κελεστίνου lrt κελεστίω e φρονήσει VPK φρονήσοι SDA 26 τῆς om lt τῶν d 27 ἀπεντεῦθεν lrt 28 τοῖς om y τῆς om V ἐπισκοποις om d τοῖς om d τα] τᾶσ u κατα r 29 ὑποκεῖσθαι lrty ὑπόκειται d καὶ om d καὶ τῆσ VP 30 κανων β' Smg D β̄ K ἐπαρχειῶται Pabdefuy ἐπίσκοποι om SDΛ 31 προσέθησαν c προσετέθησαν ἢ προστεθείησαν lty υποστρέψαντεσ DA καθαιρέσει νεστορίου VP

ἐπαλινδρόμησαν πρὸς τὸ τῆς ἀποστασίας συνέδριον, τούτους πάντηι κατὰ τὸ δόξαν τῆι ἁγίαι συνόδωι ἀλλοτρίους εἶναι τῆς ἱερωσύνης καὶ τοῦ βαθμοῦ ἀποπίπτοντας.

L III 806 4 Εἰ δέ τινὲς καὶ τῶν ἐν ἑκάστηι πόλει ἢ χώραι κληρικῶν ὑπὸ Νεστορίου καὶ τῶν σὺν αὐτῶι ὄντων τῆς ἱερωσύνης ἐκωλύθησαν διὰ τὸ ὀρθῶς φρονεῖν, ἐδικαιώσαμεν καὶ τούτους
M IIII 1173 τὸν ἴδιον ἀπολαβεῖν βαθμόν, κοινῶς δὲ τοὺς τῆι ὀρθοδόξωι καὶ οἰκουμενικῆι συνόδωι συμφρονοῦντας κληρικοὺς κελεύομεν τοῖς ἀποστατήσασιν ἢ ἀφισταμένοις ἐπισκόποις μηδ' ὅλως ὑποκεῖσθαι κατὰ μηδένα τρόπον.

5 Εἰ δὲ τινὲς ἀποστατήσαιεν τῶν κληρικῶν καὶ τολμήσαιεν ἢ κατ' ἰδίαν ἢ δημοσίαι τὰ Νεστορίου ἢ τὰ Κελεστίου φρονῆσαι, καὶ τούτους εἶναι καθηιρημένους ὑπὸ τῆς ἁγίας συνόδου δεδικαίωται.

6 Ὅσοι δὲ ἐπὶ ἀτόποις πράξεσιν κατεκρίθησαν ὑπὸ τῆς ἁγίας συνόδου ἢ ὑπὸ τῶν οἰκείων ἐπισκόπων καὶ τούτοις ἀκανονίστως κατὰ τὴν ἐν ἅπασιν αὐτοῦ ἀδιαφορίαν ὁ Νεστόριος ἢ οἱ τὰ αὐτοῦ φρονοῦντες ἀποδοῦναι ἐπειράθησαν ἢ πειραθεῖεν κοινωνίαν ἢ βαθμόν, ἀνωφελήτους μένειν καὶ τούτους καὶ εἶναι οὐδὲν ἧττον καθηιρημένους ἐδικαιώσαμεν.

7 Ὁμοίως δὲ καὶ εἴ τινες βουληθεῖεν τὰ περὶ ἑκάστου πεπραγμένα ἐν τῆι ἁγίαι συνόδωι τῆι ἐν Ἐφέσωι οἱωιδήποτε τρόπωι παρασαλεύειν, ἡ ἁγία σύνοδος ὥρισεν, εἰ μὲν ἐπίσκοποι ἢ κληρικοὶ εἶεν, τοῦ οἰκείου παντελῶς ἀποπίπτειν βαθμοῦ· εἰ δὲ λαικοί, ἀκοινωνήτους ὑπάρχειν.

Καὶ ὑπέγραψαν πάντες οἱ ἐν τῆι στάσει ἐπίσκοποι.

92 = S 60 A 39. Latina uersio extat in Collectionibus CT 39 et Veronensi 21

L III 656 M IIII 1325 Ἴσον ἀναφορᾶς παρὰ τῆς ἁγίας συνόδου πρὸς τοὺς εὐσεβεστάτους βασιλεῖς περὶ τῶν Ἀνατολικῶν

1 Τοῖς εὐσεβεστάτοις καὶ θεοφιλεστάτοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι νικηταῖς τροπαιούχοις ἀεὶ αὐγούστοις ἡ ἁγία σύνοδος ἡ χάριτι θεοῦ καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῆι Ἐφεσίων μητροπόλει. Τὰ μὲν προστεταγμένα τῆι ἁγίαι συνόδωι παρὰ
ep. 81 τοῦ ὑμετέρου κράτους εἰς πέρας ἤχθη τὸ προσῆκον καὶ τοῦτο γνώριμον τῆι ὑμῶν κατεστήσαμεν εὐσεβείαι τήν τε ἀποστολικὴν πίστιν, ἣν καὶ οἱ ἐπὶ τῆς Νικαίας τριακόσιοι δέκα καὶ

---

21 in fine add. *haec missa est per Auxentium magistrianum* Λc

---

V, P [= hk], S, D [= mn], AΛ et K [= abcdeflpqrtuy]

1 ἐπαλινδρόμησεν d  πρὸ τῆσ f  2 ἐκπίπτοντασ abcdefpqu ἐκπίπτειν lrty  3 κανὼν γ' Smg D γ̄ K  καὶ om. pq  ἐν om. drt, corr. d  χώρα ἢ πόλει S πόλει καὶ χώρα y  τοῦ νεστορίου S  4 αὐτῶι ὄντων] αὐτῶν y  καὶ om. S  τούτοισ P  5 τοὺς om. abcdefrtuy  τῇ ὀρθοδόξῳ καὶ τῇ οἰκουμενικῇ SDA τῇ οἰκουμενικῇ καὶ ὀρθοδόξῳ pq  5/6 φρονοῦντασ u  6 κληρικοὺς — ἐπισκόποις] κληρικοὺσ [hic om. pq τοὺσ κληρικοὺσ ycorr] ἢ [ἢ καὶ pq] συμφρονήσαντασ ἢ νῦν ἢ μετὰ ταῦτα [hic ins κληρικοὺσ pq] ἐν οἱῳδήποτε χρόνῳ κελεύομεν [κελεύομεν hic om. pq] τοῖσ ἀποστατήσασιν ἢ ἀφισταμένοισ ἢ παραβαίνουσιν [hic ins. ἐπισκόποισ pq] τούσ τε ἁγίουσ κανόνασ καὶ τὴν ὀρθὴν [ὀρθόδοξον pq] πίστιν [hic ins. κελεύομεν pq] ἐπισκόποισ [hic om. pq] pqy  6 ἢ om. S  7 τρόπον ἢ χρόνον pq  8 κανὼν δ' Smg D δ̄ K  ἢ[1] om. SDA  δημοσίᾳ SDabdeflpqrty δημοσίαν cu ἐν δημοσίῳ VPA δημοσίῳ in δημοσίᾳ corr. k  9 κελεστίνου lrty  φρονῆσαι ἢ τὰ κελεστίου S  11 κανὼν ε' Smg D ε̄ K  ὑπὸ SDK ἀπὸ A ἐπὶ VP  τῆς om. SDabcflrtuy ὑπὸ SDK ἀπὸ A ἐπὶ VP  12 τούτουσ VAu  πᾶσιν p  αὐτοῦ ἀδιαφορίαν VPA αὐτοῦ διαφωνίαν SD ἀδιαφορίαν αὐτοῦ K  13 οἱ om. u  ἐπειράσθησαν uy  πειρασθεῖεν y  14 μένειν καὶ τούτουσ εἶναι S εἶναι καὶ μένειν u  τούτοισ bf  ἧττον ἢ t  ἐδικαιώσαμεν VPSD AΛlpqrty ἐδικαίωσαν abcdefr ἐδικαίωσεν u  15 κανὼν ς' Smg D ς̄ K  δὲ om. u  17 εἶεν ἢ κληρικοὶ K  ἀκοινωνίτουσ P  τυγχάνειν de  18 om. KΛ

V, P [= hk], S, D [= mn], AWΛtΛcΛu

20/21 SDAWΛtc παρὰ — Ἀνατολικῶν om. VP  20 βασιλέασ SA  21 ϛβ V πγ P ξ SD  22 θεοσεβεστάτοισ V  καὶ[3] om. V  23 θῦ VPSD χῦ W τοῦ χῦ A *Christi* Λ  25 ὑμετέρα VP  25/26 εὐσεβείᾳ κατεστήσαμεν SDAW  26/p. 29, 1 τι καὶ η̄ W  26 καὶ[3] om. VPD

ὀκτὼ συναχθέντες ἐξέθεντο, φανερὰν κατεστήσαμεν τῆι ὑμῶν εὐσεβείαι καὶ τὸν ἐναντία
ταύτηι φρονήσαντα Νεστόριον καθείλομεν τῆς ἱερατικῆς λειτουργίας τε καὶ παρρησίας τοῦ
2 κηρύττειν τὴν ἑαυτοῦ δυσσέβειαν. ἐπειδὴ δέ τινες ὀλίγοι, προδιαφθαρέντες τὴν γνώμην
ὑπὸ τῆς διδασκαλίας Νεστορίου, προσμείναντες αὐτῶι καὶ τοὺς ὑπὸ αἰτίασιν ὄντας μεθ'
ἑαυτῶν προσελάβοντο, προσθεμένου αὐτῶι καὶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου Ἀντιο-
χείας ἢ διὰ φιλονεικίαν ἢ διὰ τὴν πρὸς ἀνθρώπους φιλίαν, καὶ οἱ πάντες γενόμενοι τριά-
κοντα μόνοι, πρὶν ἀπολογήσασθαι περὶ ὧν ἕκαστος ἐνεκαλεῖτο πταισμάτων, ἑαυτοὺς προση-
γόρευσαν σύνοδον, ὡς τῆς ὑμῶν εὐσεβείας δύο συνόδους κελευσάσης συγκροτηθῆναι, ἀλλ'
οὐχὶ μίαν, ὀφείλουσαν τήν τε πίστιν κρατῦναι τὴν εὐαγγελικὴν καὶ τοὺς τὰ διεφθαρμένα
φρονοῦντας ἐκβάλλειν τῆς ἐκκλησιαστικῆς λειτουργίας, ἀλλ' ὡς ἔφημεν, οἱ μνημονευθέντες πρὶν
ἀπολογήσασθαι περὶ ὧν ἐνεκαλοῦντο, ὀλίγοι συγκροτήσαντες ἑαυτοὺς καὶ συλλήπτορα τῆς
ἀπονοίας προσλαβόντες τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην τῆς Ἀντιοχείας καὶ αὐτὸν
δεδοικότα περὶ τῆς βραδυτῆτος εὐθύνας ὑποσχεῖν, ὡς ἐμάθομεν ὑποθρυλούντων τινῶν, ἐτόλ-
μησαν ἔξω πάσης ἀκολουθίας ἐκκλησιαστικῆς καὶ τῶν κανόνων ἐκτὸς κατὰ τῆς ἁγίας συνό-
δου καὶ τῆς κεφαλῆς τῶν συνειλεγμένων ἁγιωτάτων ἐπισκόπων, Κυρίλλου φαμὲν τοῦ ἁγιω-
τάτου ἀρχιεπισκόπου, ἔτι μὴν καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Μέμνονος, ἐξενεγκεῖν βλα-
σφημίαν, ὡς ἐνόμιζον, ὕβριν ἔχουσαν καθαιρέσεως, οὔτε κατηγορίαν παρά τινος δεδεγμένοι M IIII 1328
οὔτε κατήγορον ἀναμείναντες οὔτε μὴν προσκαλεσάμενοι εἰς κρίσιν τινά, ἀλλὰ πρὸ δίκης
καὶ ἐξετάσεως τὴν ὕβριν ταύτην ἐγγράφως ἐξεμέσαντες τῶι ὑμετέρωι κράτει ἀνενεγκεῖν ep. 153
ἐτόλμησαν τὰ οὕτω παράλογα, ὡς τῆς ὑμῶν εὐσεβείας ἀγνοούσης ὅτι μία σύνοδος ἡ τῆς
οἰκουμένης ἐστὶ καὶ οὐκ ἂν ῥηθείη σύνοδος ἡ τῶν ὑπ' αἰτίαν πιπτόντων ὀλίγων συστροφὴ
καὶ ἑαυτοὺς διὰ φόβον ἐπιτιμήσεως ἀπορρηξάντων τῆς ἁγίας συνόδου· οὐδὲ γὰρ κατεγνω-
κότες πταίσματος τὴν ὕβριν ἐτόλμησαν, ἀλλὰ περὶ ὧν ἐνεκαλοῦντο, ἴσως ἀπολογίαν οὐκ
ἔχοντες καὶ ἑαυτοὺς ὄντας ὀλίγους ὁρῶντες καὶ δεδοικότες ὡς μέλλουσι μετὰ τοὺς ἐλέγχους
ἐπιτίμιον ὑποδέχεσθαι, προλαβόντες ἐθρασύναντο καὶ τοῦτ' ἐνόμισαν ποιεῖν ὅπερ ἤλπισαν L III 657
ὑπομένειν μετὰ τὸν ἔλεγχον, ἀλλὰ τοῦτο ὡς ἄλογον ἔδοξεν ἡμῖν καταφρονήσεως ἄξιον·
ἐπειδὴ δὲ καὶ μέχρι τοῦ ὑμετέρου κράτους ἀνενεγκεῖν ἐτόλμησαν τὴν ἀλογωτάτην ἑαυτῶν ἀπό- ep. 153
νοιαν καὶ τὸ παρὰ θεσμοὺς καὶ κανόνας καὶ πᾶσαν ἀκολουθίαν ἐκκλησιαστικὴν αὐτοῖς
πεπραγμένον δηλῶσαι τετολμήκασι τῆι ὑμῶν εὐσεβείαι, οὐκέτι παρείδομεν τὴν ἄλογον ἐκεί-
νων ὁρμήν, ἀλλ' ἑπόμενοι πάλιν τῶι τύπωι τῶν κανόνων προσεκαλεσάμεθα τὸν εὐλαβέστα-
τον ἐπίσκοπον Ἰωάννην τὸν τὰ τηλικαῦτα μετὰ τῶν ἄλλων κατὰ τῶν προειρημένων τετολ-
μηκότα. οὐδὲ γὰρ ἐθάρσησαν ἐκεῖνοι πρὸς τοσαύτην ἀπόνοιαν χωρῆσαι οἱ ὑπ' αἰτίαν
ὄντες ὀλίγοι, εἰ μὴ τῆι θρασύτητι τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου τοῦ τῆς Ἀντιοχέων
3 ἐθάρσησαν. συναχθέντες οὖν ἡμεῖς λιβέλλων προσδοθέντων ἡμῖν παρὰ τοῦ ἁγιωτάτου

---

V, P [= hk], S, D [= mn], AWΛ^tcu

2 φρονήσαντα ταύτη S  ἱερᾶσ VP  τε λειτουργίασ W  3 ἀσέβειαν W  4 καὶ ὑπὸ[1] D  αἰτίασ SDAW  5 αὐτῷ VSDAWΛ^tu αὐτοῖς Λ^c δὲ αὐτοῖσ P  6/7 λ̄ W  7 μόνον A  πραγμάτων Sm γρ πταισμάτων m in mg.  10 ἐκβαλεῖν DW ἐκβαλλεῖν S  λειτουργίας] ἀκολουθίασ S  ἔφημεν] ἔοικεν S  11 ἀπολογήσονται V ἀπολογήσωνται P  ἐνεγκαλοῦντο S  12 συλλαβόντεσ A  ἰωάννην τῆσ ἀντιοχέων PS τῆσ ἀντιοχείασ ἰωάννην W Ἰωάννην A  13 ὑποθρυλλούντων VPSDW  14 τῶν om. V  ἐκκλησιαστικῆσ καὶ ἁγίασ V  15 συνειλεγμένων SDWΛ ἀπηγγελμένων VP ἐπηγγελμένων A  ἁγιωτάτων om. S  16 ἀρχιεπισκόπων VP  ἔτι γε μὴν V  17 καὶ καθαιρέσεωσ A  ὑπό SDAW  18 κατήγορον] κατηγορίαν P  προσκαλεσάμενον S  21 αἰτίαν τινὰ SDAW  22 αὐτῶν A  24 αὐτοὺσ SDW  καὶ SDAWΛ om. VP  25 τὸ ἐπιτίμιον VP  ἐθρασύνοντο DAW  τοῦτο VP  26 ὑπομένειν om. W  27 *ausi sunt omnino* Λ^c  27/28 ὑπόνοιαν A  28 αὐτοῖσ τὴν ἐκκλησιαστικὴν SDAW  29 τετολμήκασι δηλῶσαι S  ὑμετέρα VP  29/30 ἐκείνην VW  31 εἰρημένων VP  32 γὰρ ἂν P  ἐθάρρησαν SDAW  χωρῆσαι] θαρρῆσαι A  ὑπό VP  33 ἐπισκόπου om. SD  ἀντιοχείασ SDAW  34 ἐθάρρησαν SDAW om. Λ^u  λιβέλλων — ἡμῖν A λιβέλλων προδοθέντων ἡμῖν SDW προδοθέντων ἡμῖν λιβέλλων VP

καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ τοῦ θεοφιλεστάτου συνεπισκόπου Μέμνονος μετεκαλεσάμεθα τὸν μνημονευθέντα θεοφιλέστατον ἐπίσκοπον Ἰωάννην, ὥστε νῦν γοῦν τὴν μέμψιν εἰπεῖν, δι' ἣν εἰς τοῦτο ὕβρεως ἐξώκειλε κατὰ τῶν πρώτων τῆς ἁγίας συνόδου, ὃς ἅπαξ καὶ δεύτερον καὶ τρίτον μετακληθεὶς ὥστε τὴν αἰτίαν εἰπεῖν, παραγενέσθαι μὲν ἐν τῆι συνόδωι οὐκ ἠνέσχετο, οὐκ ἔχων [εἰπεῖν] εὔλογον ὧν τετόλμηκε τὴν αἰτίαν, στρατιώταις δὲ καὶ ὅπλοις περιφράξας τὴν ἑαυτοῦ οἰκίαν οὐδὲ τοὺς ἀποστελλομένους παρὰ τῆς ἁγίας συνόδου ἁγιωτάτους ἐπισκόπους ἐδέξατο οὐδὲ ἀποκρίσεως τῆς δεούσης ἠξίωσε τὴν συναχθεῖσαν
4 ἁγιωτάτην σύνοδον. ὅθεν γνόντες αὐτὸν μὴ θαρροῦντα δικαιολογίαις, τὰ μὲν ὑπ' αὐτῶν εἰκῆι καὶ μάτην φλυαρηθέντα' καὶ παρὰ πᾶσαν τὴν τῶν κανόνων ἀκολουθίαν γεγραμμένα κατά τε τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ κατὰ τοῦ εὐλαβεστάτου συνεπισκόπου Μέμνονος ἄκυρά τε καὶ μάταια παντάπασιν εἶναι ἐδικαιώσαμεν· κρίσις γὰρ ἡ μεθ' ἑαυτῆς οὐκ ἔχουσά τι κανονικὸν οὐδὲ δίκαιον λοιδορίας οὐδὲν ἔχει πλέον. οὕτως οὖν ἀκανονίστως αὐτόν τε καὶ τοὺς ἅμα αὐτῶι ἀτάκτως πράττοντας καὶ ἔξω πάσης ἀκολουθίας ἐκκλησιαστικῆς ἀκοινωνήτους τέως εἶναι ἐδικαιώσαμεν, εἴρξαντες αὐτῶν τὴν ἄλογον ἀταξίαν, ἕως ἂν ἐλθόντες περὶ ὧν προεπετεύσαντο, ἀπολογήσωνται τῆι ἁγίαι συνόδωι.
M IIII 1329 5 Τὰ οὖν τυπωθέντα ἀναγκαίως ἐπὶ τὴν ὑμετέραν εὐσέβειαν ἀνηνέγκαμεν δεόμενοι ὥστε μὴ σύνοδον κρίνεσθαι τὴν συστροφὴν τῶν ὑπ' αἰτίας γεγενημένων διὰ τὸ καὶ πάλαι ἐπὶ τῆς ἁγίας καὶ μεγάλης συνόδου τῶν τιη τῶν ἐπὶ τῆς Νικαέων συνειλεγμένων τινὰς οὕτως ἀποστῆναι τῆς μεγάλης ἐκείνης συνόδου, δεδοικότας τὸ ἐξ αὐτῆς ἐπιτίμιον, καὶ μήτε κριθῆναι σύνοδον τούτους ὑπὸ τοῦ μεγάλου καὶ ἐν ἁγίοις βασιλέως Κωνσταντίνου, ἀλλὰ καὶ κελευσθῆναι δίκας ὑποσχεῖν ὑπὲρ ὧν ἀποσχίσαντες τὴν τῶν ἁγίων ἐκείνων ἐπισκόπων συμφωνίαν ἠρνήσαντο, πονηρᾶι, καθάπερ οὗτοι, καὶ αὐτοὶ συνειδήσει κεχρημένοι. ἄτοπον γὰρ συνόδωι διακοσίων δέκα ἁγίων ἐπισκόπων, οἷς καὶ πᾶν τὸ πλῆθος τῆς Δύσεως τῶν ἁγίων ἐπισκόπων συνεψηφίσατο καὶ δι' αὐτῶν ἅπαν τὸ πλῆθος τὸ λοιπὸν τῆς οἰκου-
I. III 660 μένης, τριάκοντα μόνους ἀντιμαχέσασθαι, ὧν οἳ μὲν ἤδη πάλαι καθῃρημένοι τυγχάνουσιν, οἳ δὲ καὶ τῆς Κελεστίου κακοδοξίας εἰσίν, οἳ δὲ καὶ ἀνεθεματίσθησαν ὡς τὰ Νεστορίου φρονήσαντες, ἀλλὰ κελεῦσαι τὰ ὑπὸ τῆς οἰκουμενικῆς καὶ ἁγίας συνόδου τετυπωμένα εἰς συγκρότησιν τῆς εὐσεβείας κατὰ Νεστορίου καὶ τοῦ ἀσεβοῦς αὐτοῦ δόγματος τὴν ἰδίαν ἰσχὺν ἔχειν, κρατυνθέντα τῆι ἐπινεύσει καὶ συγκαταθέσει τῆς ὑμετέρας εὐσεβείας.

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων ἀνήνεγκα

Ἀρκάδιος καὶ Προίεκτος ἐπίσκοποι καὶ Φίλιππος πρεσβύτερος πρεσβευταὶ τῆς ἀποστολικῆς καθέδρας ἀνηνέγκαμεν

Ὑπέγραψαν δὲ καὶ οἱ λοιποὶ πάντες ἐπίσκοποι.

---

V, P [= hk], S, D [= mn], AWA$^t$A$^c$A$^u$

1 κυρίλλου ἀρχιεπισκόπου SD ἐπισκόπου κυρίλλου P  2 θεοφιλέστατον SDWA εὐλαβέστατον P om. VΛ  ἐπίσκοπον om. W  κἂν νῦν A  3 προσώπων W  ὅς] ὡσ P, corr. k  4/5 τῆ συνόδω VPAΛ τῆ ἁγία συνόδω SDW  5 εἰπεῖν om. Λ  ὧν — αἰτίαν] ἀπολογίαν ὧν τετόλμηκε V  6 τὴν — οἰκίαν περιφράξασ D τὴν — οἰκίαν S  7/8 τὴν — σύνοδον VPΛ τοὺσ συναχθένταs εἰσ τὴν ἁγίαν σύνοδον SDAW  8 αὐτοῦ W  9 τῶν om. S  10 τε VPΛ om. SDAW  εὐλαβεστάτου καὶ P  συνεπισκόπου ἡμῶν VPΛ$^c$  13 καὶ$^2$] οὐκ S  13/14 ἐκκλησιαστικῆσ ἀκολουθίασ SDAW  15 ἐπροπετεύσαντο DA  16 γοῦν V  ἠνέγκαμεν D om. S  17 αἰτίαισ S$^{mcorr}$ αἰτίοισ D αἰτίασιν V  18 τριακοσίων δέκα καὶ [καὶ om. PD] ὀκτὼ VPD  τῶν om. VP  νικαίασ VP  19 καὶ δεδοικότασ P  20 βασιλέως om. W  21 ἀποσχίσαντεσ ἑαυτούσ PΛ$^c$  ἐπισκόπων om. P  22 οὗτοι καὶ αὐτοὶ VPΛ καὶ οὗτοι SDW καὶ τούτοισ A  23 σύνοδον PΛ$^u$  24 τὸ πλῆθοσ τὸ λοιπὸν V τὸ πλῆθοσ τῶν λοιπῶν P τὸ λοιπὸν πλῆθοσ SDAW  25 λ W  ἀντιμαχέσασθαι SDWΛ om. VPA  πάλαι om. SW  26 καὶ om. PΛ  τῆς — δὲ καὶ om. V  27 φρονήσαντεσ ἀντιλέγειν A  28 αὐτοῦ ἀσεβοῦσ S  ἰδίαν om. P  29 κρατηθέντα W  30—33 om. VP *et subscripsit synodus per episcopos centum nonaginta octo* Λ$^u$

**93** = S 66 A 44. praeter numerum et titulum deest in V. Latina uersio extat in Collectione CT 40

Ἴσον σάκρας ἀποσταλείσης διὰ Ἰωάννου τοῦ κόμητος τῶν σακρῶν τῆι ἁγίαι συνόδωι

1 Κελεστίνωι[1] Ῥούφωι[2] Αὐγουστίνωι[3] Θεοδότωι[4] Ἀλεξάνδρωι[5] Ἀκακίωι[6] [ἄλλωι Ἀκακίωι[7]] M IIII 1306
Τραγκυλίνωι[8] Οὐαλεντίνωι[9] Ἰκονίωι[10] Ἰωάννηι[11] Ἀκακίωι[12] Οὔρσωι[13] Φίρμωι[14] Ἱμερίωι[15] L. III 721
Δεξιανῶι[16] Βεριανιανῶι[17] Παλλαδίωι[18] Ἀστερίωι[19] Ἰουβεναλίωι[20] Φλαβιανῶι[21] Ἑλλαδίωι[22] Ῥαμβούλωι[23] Ἀλεξάνδρωι ἄλλωι[24] Μαξίμωι[25] Φριτίλαι[26] Περιγένει[27] Κύρωι[28] Ἰωάννηι ἄλλωι[29] Εὐθηρίωι[30] Ἑλλανίκωι[31] Βοσπορίωι[32] Κύρωι ἄλλωι[33] Βηναντίωι[34] Πέτρωι[35] Δυνατῶι[36] Δωροθέωι[37] Ἀντιόχωι[38] Δαλματίωι[39] Εὐσεβίωι[40] Σελεύκωι[41] Ἐλευσίωι[42] Εὐλογίωι[43] Σαππίδωι[44] Τιμοθέωι[45] Πίωι[46] Τρωίλωι[47] Ἐρρηνιανῶι[48] Μονίμωι[49] Ὀλυμπίωι[50] Θεοφίλωι[51]
2 Ἰουλιανῶι[52] Βασιλείωι[53] καὶ λοιποῖς εὐλαβεστάτοις ἐπισκόποις. Ὅσον περὶ τὴν εὐσέβειαν καὶ τὴν προγονικὴν πίστιν ἔχοντες ζῆλον διατελοῦμεν, ἐκ πολλῶν ἡγούμεθα τῶν προλαβόντων ἐναργῶς δεδηλῶσθαι, οὐχ ἥκιστα δὲ καὶ ἐκ τῆς ἔναγχος ἐπὶ τῆι κλήσει τῆς ἁγιωτάτης ὑμῶν συνόδου τοῦτο φανερὸν γεγονέναι πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην πεπιστεύκαμεν. οὐδὲ γὰρ πρὸς βραχὺ ἀνακυψάσης τινὸς ἀμφισβητήσεως ἀνασχόμενοι, ὑπὲρ τοῦ θᾶττον τὴν ταύτης παρακολουθῆσαι λύσιν σπουδαίως συνελθεῖν τὴν ὁσιότητα ὑμῶν ἐπεστείλαμεν, καὶ οὐδαμῶς ἡγούμενοι τὸν ὑπὲρ εὐσεβείας πόνον τῆι θεοσεβείαι ὑμῶν ἔσεσθαι φορτικόν, ἐπεκουφίσαμεν ὅμως βασιλικῆι προνοίαι τὴν τούτου δυσχέρειαν ἐπιτηδειότητι καιροῦ τε καὶ τόπου. τὴν γὰρ Ἐφεσίων ἀφωρίσαμεν πόλιν τοῖς τε ἐκ γῆς καὶ θαλάσσης εὐπρόσιτον, καὶ πάντων δὲ τῶν οἰκείων καὶ ἐπεισάκτων καρπῶν τὰ χρειώδη τοῖς ἐνδιατρίβουσιν ἀφθόνως παρέχουσαν, ὥστε τὸν τῆς ἡμετέρας γαληνότητος εὐσεβῆ σκοπὸν καὶ
3 τῆς ἁγιωτάτης ὑμῶν συνόδου συνδραμεῖν τε ῥαιδίως καὶ εἰς ἔργον ἀχθῆναι. ὅθεν καὶ νῦν τὴν γνωρισθεῖσαν παρὰ τῆς θεοσεβείας ὑμῶν Νεστορίου καὶ Κυρίλλου καὶ Μέμνονος καθαίρεσιν ἐδεξάμεθα, τῶν δὲ ἄλλων τῶν παρ' ὑμῖν πραχθέντων κατέγνωμεν, τὴν περὶ τὸν Χριστιανισμὸν πίστιν καὶ ὀρθότητα φυλάττοντες, ἣν ἐκ πατέρων καὶ προγόνων παρειλήφαμεν καὶ ἣν ἡ ἁγιωτάτη σύνοδος ἡ ἐπὶ τοῦ τῆς θείας λήξεως Κωνσταντίνου γενομένη συμφώνως ἐκύρωσε. φροντίσει τοίνυν ἕκαστος τοῦ ἁγιωτάτου ὑμῶν συλλόγου, λυθείσης πάσης ἀμφισβητήσεως κοπέντων τε τῶν σκανδάλων, μετ' εἰρήνης καὶ ὁμονοίας εἰς τὴν οἰκείαν

---

V [praeter numerum et titulum omnia desunt], P [= hk], S [3 τῶν σακρῶν — p. 32, 4 ὑμῶν συλλόγωι desunt propter folii defectum], D [= mn], AWΛtΛc

ςγ̄ V πδ̄ P ξς̄ SD 3 τοῦ om. PS τῶν om. W σακρῶν VPΛ σακρῶν παρὰ τῶν εὐσεβεστάτων βασιλέων DAW ἁγία PΛt om. V ἁγία καὶ μεγάλη DAW

4—11 ordo idem inuenitur in Λt, confusus est in Λc, ubi accedunt *Sabbatius* et *Iohannes* tertius, pro Valentino[9] habetur *Valerianus* 4 praemittit Ἰουβενάλιος ἐπίσκοποσ ἱεροσολύμων ἀνήνεγκε ex fine ep. 92 P [3] αὐγουστίνω P αὐγουστιανῶ DA αὐγουστινιανῶ W [4] om. DAW [7] P om. DAWΛ [17] βεριvιανῶ A βερηνιανῶ D βεριανῶ P βενινῶ W [26] φριτίλαι D φριτηλᾶ P φριτηρᾶ A φιρτιάνω W [27] περιγενίω P [32] βοσφορίω P [33—39] om. W [39] ante [33] coll. P [34] βινατίω D βιννατίω A [35] post [37] coll. P [36] δυμάτω P [41] σελευκίω W [43] ante [40] coll. W post [47] iterum habet P [44] σαππίω D [48] ἐρρηνιανῶ A ἐρηνιανῶ DW ἐρριανῶ P 11 τοῖσ λοιποῖσ A ὅσοι A 12 τὴν προγονικὴν πίστιν WΛ τῆσ προγονικῆσ πίστεωσ PDA 12 ἔχοντεσ ζῆλον διατελοῦμεν P ζῆλον διατελοῦμεν ἔχοντεσ W τὸν ζῆλον διατελοῦμεν ἔχοντεσ [ἔχοντεσ om. A] DA 13 τῆι om. P 13/14 ἁγιωτάτησ PΛ om. DAW 14 τοῦτον P 16/17 ἀπεστείλαμεν DA 17 καὶ om. W τῆσ θεοσεβείασ W 18/19 ὅμως — ἀφωρίσαμεν om. W 20 προσιτὴν P δὲ] διά τε P τὰ] καὶ P 22 καὶ ῥαιδίως A 23 θεοσεβείασ P *sanctitate* Λ εὐσεβείασ DAW 24 ὑμῖν PDAΛt ὑμῶν WΛc κατέγνωμεν PΛ ἔγνωμεν DA ἔγνωμεν τὰ ὑπομνήματα W τήν τε W 25 τὲ καὶ DA καὶ — φυλάττοντες om. W τε καὶ P 26 ἡ[2] om. DA τοῦ om. P γεγενημένη κωνσταντίνου P 27 post ἐκύρωσεν add. ὀρθότατα φυλάττοντεσ ὦμεν W 28 τε PΛ δὲ DA καὶ W τὲ καὶ A *concordia generali* Λc οἰκίαν W

4 ἐπανελθεῖν. ὑπὲρ δὲ τοῦ τὴν ὁσιότητα ὑμῶν μὴ μόνον ἀπὸ τῶν τῆς ἡμετέρας εὐσεβείας
γραμμάτων προτραπεῖσαν εἰς ὁμόνοιάν τε καὶ εἰς τὴν καθόλου τοῦ εὐσεβοῦς δόγματος εἰ-
ρήνην ἰδεῖν, καὶ τὰ γράμματα τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς Βεροιαίων Ἀκακίου τοῦτο πα-
ραινοῦντος ἀναγνόντες ἀπεστείλαμεν, ὃς τῶι ἁγιωτάτωι ὑμῶν συλλόγωι προστεθῆναι διὰ τὸ
μακρὸν γῆρας οὐ δυνηθείς, δι' ὧν ἔγραψε, τὰ τῆι αὐτοῦ θεοσεβείαι πρέποντα καὶ τῆι ὀρθο-
δόξωι θρησκείαι συντελοῦντα εἰσηγήσατο, ἅπερ οἷα τυγχάνει, ἡ τῆς αὐτῆς ἐπιστολῆς δη-
λώσει ἀνάγνωσις. γινωσκέτω μέντοι ἡ ὑμῶν ὁσιότης ὅτιπερ τὸν μεγαλοπρεπέστατον καὶ
ἐνδοξότατον κόμητα τῶν σακρῶν Ἰωάννην τούτου ἕνεκα ἀπεστείλαμεν ὥστε αὐτὸν εἰδότα
τὸν περὶ τὴν πίστιν τῆς ἡμετέρας θειότητος σκοπόν, ἅπερ ἂν συνίδηι λυσιτελεῖν, διαπρά-
ξασθαι.

**94** = S 67 A 47. praeter numerum et titulum deest in V. Latina uersio extat in Collectione CT 41

L III 756 Ἴσον ἀναφορᾶς τῆς ἁγίας συνόδου πρὸς τὴν σάκραν τὴν ἀναγνωσθεῖσαν παρὰ τοῦ μεγα-
M IIII 1433 λοπρεπεστάτου κόμητος τῶν σακρῶν Ἰωάννου

1 Τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι νικηταῖς τροπαι-
L III 757 σύχοις ἀεὶ αὐγούστοις ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ χάριτι θεοῦ καὶ νεύματι τοῦ ὑμε-
τέρου κράτους συναχθεῖσα ἐν τῆι Ἐφεσίων μητροπόλει. Ἡ μὲν φιλόχριστος ὑμῶν βασι-
λεία, εὐσεβέστατοι βασιλεῖς, ἐκ παίδων τὸν περὶ τὴν πίστιν καὶ τοὺς κανόνας ἐπεδείξατο
ζῆλον, οὗπερ ἕνεκεν καὶ τοὺς ἐκ τῆς οἰκουμένης ἐπισκόπους τὴν Ἐφεσίων καταλαβεῖν εὐ-
σεβεῖ θεσπίσματι παρεκελεύσατο· τὸ δὲ νῦν ἡμῖν ἀναγνωσθὲν γράμμα τῆς ὑμετέρας γαλη-
νότητος διὰ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου κόμητος Ἰωάννου οὐ μικρὰν ἡμῖν
ἐποίησε ταραχήν, ἐνδειξάμενον ἀπάτην τινὰ καὶ ψεῦδος ταῖς ἀψευδέσιν παρενοχλῆσαι ὑμῶν
2 ἀκοαῖς. ὡς γὰρ παρ' ἡμῶν ἀναφορὰν δεξάμενον τὸ ὑμέτερον κράτος καθαίρεσιν ἔχουσαν
τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ τοῦ ὁσιωτάτου καὶ θεοφιλε-
στάτου συνεπισκόπου [ἡμῶν] Μέμνονος, οὕτω διὰ τῶν γραμμάτων ἐδήλωσεν. ὅθεν μη-
δαμῶς ἰσχύειν ψεῦδος ἐπὶ τῆς ὑμετέρας φιλοχρίστου βασιλείας εὐχόμενοί τε καὶ σπουδάζον-
τες ἐθαρσήσαμεν ἀνενεγκεῖν τῆι ὑμετέραι γαληνότητι ὅτιπερ ἡ οἰκουμενικὴ σύνοδος ἡ πᾶσαν
μὲν τὴν Δύσιν μετὰ τῆς μεγάλης ὑμῶν Ῥώμης καὶ τοῦ ἀποστολικοῦ θρόνου συνεδρεύουσαν
ἔχουσα, πᾶσαν δὲ τὴν Ἀφρικὴν καὶ πᾶν τὸ Ἰλλυρικὸν οὐκ ἐποίησε καθαίρεσιν τῶν προει-
ρημένων ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων οὔτε ἀνήνεγκεν, ἀλλὰ καὶ μᾶλλον τοὺς
ἄνδρας ἐπὶ ζήλωι ὀρθοδοξίας θαυμάζουσα πολλῶν ἡγεῖται καὶ παρὰ τοῖς ἀνθρώποις ἐπαί-
νων καὶ παρὰ τῶι δεσπότηι Χριστῶι στεφάνων ἀξίους, μόνον δὲ τὸν τῆς ἀθεμίτου αἱρέ-
ep 81 σεως τῶν ἀνθρωπολατρῶν κήρυκα Νεστόριον καθελόντες ἀνηνέγκαμεν τῆι φιλοχρίστωι ὑμῶν
3 βασιλείαι. κἀκεῖνο δὲ ἡμᾶς οὐ μικρῶς ἔθλιψεν ἐκ συναρπαγῆς γενέσθαι φαινόμενον τὸ

---

P, S [inde a 4 προστεθῆναι], DAWΛtΛc

2 τῆσ τοῦ P 3 ἐνιδεῖν P ante καὶ superscr ἀλλά W ὁσιωτάτου PA om DAW ἐπισκόπου τῆσ βερροιαίων DAW τῆσ βερροιαίων ἐπισκόπου P 6 αὐτῆσ om. P 7 ὑμετέρα P 8 καὶ τούτου ἕνεκεν W 9 τὸν περὶ τὴν] τὴν περιττὴν S ὑμετέρασ W σκοπὸν τῆσ ἡμετέρασ θειότητοσ P συνίδη W συνειδῆ SDA συνήδει P 9/10 διαπράξασθαι PWΛ διαπράξησθε SDA

V [praeter numerum et titulum omnia desunt], P [= hk], S, D [= mn], AWΛtΛc

ϙδ V πε P ξζ SD 13/14 τοῦ μεγαλοπρεπεστάτου om. V 14 ἰωάννου κόμητοσ τῶν σακρῶν VP 15—17 Τοῖς — μητροπόλει om. P 15 εὐλαβεστάτοισ S 16 θεοῦ] *Christi* Λ 16/17 *uestrae pietatis* Λc 18 ἐπεδείξαντο P 20 ὑμῖν D 21 ἡμῖν om. SW 22 παρενοχλῆσαι ὑμῶν P ὑμῶν παρενοχλῆσαι W *inquietare* Λ ὑμῶν παρενοχλῆσαν SDA 24 θεοφιλεστάτου ἀρχιεπισκόπου PΛ ὁσιωτάτου SDAW 24/25 καὶ τοῦ —:Μέμνονος om. P 24 τοῦ om. S ὁσιωτάτου καὶ om W 25 ἡμῶν om. Λ 27 ἐθαρρήσαμεν PSW 28 τὴν om. P ἡμῶν Pm 30 καὶ[3] om. WΛt 31 διηγεῖται SW 33 τὸν ἀνθρωπολάτριν P 34 δὲ om. P οὐ μικρῶσ ἡμᾶς D

τοὺς ἀποστατήσαντας ἀπὸ τῆς οἰκουμενικῆς συνόδου τοὺς περὶ Ἰωάννην τὸν Ἀντιοχείας καὶ τοὺς σὺν αὐτῶι Κελεστιανοὺς καὶ καθῃρημένους τοῖς ἡμετέροις ἐγκαταμῖξαι ὀνόμασι καὶ μίαν πρός ἡμᾶς τε κἀκείνους σάκραν διαπέμψασθαι, περὶ ὧν ἤδη μὲν καὶ πάλαι φανερὰ ep 84 τῆι ὑμετέραι εὐσεβείαι κατεστήσαμεν ὅπως μὲν ἡμῶν ἀπέσχισαν· ὅπως δὲ εἰς ὕβριν τὴν κατὰ τῶν ἡμετέρων προέδρων τραπέντες τούς τε κανόνας πατῆσαι ἐτόλμησαν καὶ ἑαυτοὺς ἀκοινωνήτους πάσης τῆς οἰκουμενικῆς συνόδου διὰ τῆς καθ' ἡμῶν προπετείας εἰργάσαντο ὅπως τε καλούμενοι εἰς ἔλεγχον οὐδαμῶς ὑπακοῦσαι ἠνέσχοντο καὶ ὅτι πάντηι ἀκοινώνητοι διὰ τοῦτο καὶ ἀνενέργητοι παρὰ τῆς οἰκουμενικῆς συνόδου γεγόνασι, ταῦτα καὶ νῦν γνωρίζοντες τῆι ὑμετέραι φιλοχρίστωι βασιλείαι δηλοῦμεν ὡς διὰ τὴν τοιαύτην αὐτῶν ἀτοπίαν καὶ τοὺς ὑπὲρ τοῦ καθῃρημένου Νεστορίου αὐτῶν καὶ μέχρι νῦν ἀγῶνας οὐδαμῶς εἰς κοινωνίαν δέξασθαι ἠνεσχόμεθα, μήτε τῆι καθαιρέσει Νεστορίου ὑπογράψαι ἀνασχομένους, ἀλλὰ (M IIII 1436) καὶ τὰ ἐκείνου προδήλως φρονοῦντας, ὑποπεσόντας δὲ καὶ τοῖς κανόσι διά τε τὴν ἄτακτον αὐτῶν κατὰ τῶν ἡμετέρων προέδρων ἐπιχείρησιν καὶ διὰ τὸ ψεύσασθαι καὶ συναρπάσαι L III 760 τολμῆσαι τὰς εὐσεβεῖς ὑμῶν ἀκοάς, καὶ δεόμεθα τῆς τῶι θεῶι ἀνακειμένης ὑμῶν βασιλείας τοὺς μὲν ἁγιωτάτους καὶ θεοφιλεστάτους ἐπισκόπους Κύριλλον καὶ Μέμνονα ἀποδοθῆναι τῆι ἁγίαι συνόδωι, οὐδαμῶς ἀπὸ τῶν κανόνων κατακεκριμένους, τὴν δὲ πίστιν φυλαχθῆναι ἀσάλευτον, ἥτις καὶ τῆι ὑμετέραι ὑπὸ τοῦ ἁγίου πνεύματος καταγέγραπται ψυχῆι ἐκ προγόνων ὑμῖν παραδεδομένη καὶ ἐν τοῖς παρ' ἡμῶν πάλαι ἀνενηνεγμένοις ὑπομνήμασι τοῖς κατὰ Νεστορίου πραχθεῖσι σφόδρα σεσαφήνισται, προκειμένης μὲν τῆς πίστεως τῶν ἐν Νικαίαι ἁγιωτάτων πατέρων τῶν τιη̅, πάσης δὲ τῆς ἐπ' αὐτῶι πράξεως ἱκανῆς οὔσης διελέγξαι μὲν τὴν τῶν ἐναντίων ἀσέβειαν, παραστῆσαι δὲ τὴν ὀρθόδοξον πίστιν, ἣν μέχρι τοῦ

4 νῦν φυλάξαι διὰ πάντων ἐσπουδάσατε. εἰ δὲ παρίσταται τῶι ὑμετέρωι κράτει ὑπὲρ τοῦ ἀκριβῶς διαγνῶναι τὰ μεταξὺ ἡμῶν τε καὶ τῶν ἀποσχισάντων, τὴν ὑμετέραν κορυφὴν ἱκετεύομεν τῆι ἁγίαι συνόδωι ἐκπέμψαι ὅσους ἂν δοκιμάσηι τὸ ὑμέτερον κράτος, ὥστε καὶ κατὰ πρόσωπον περὶ πάντων πληροφορῆσαι τὴν φιλόχριστον ὑμῶν βασιλείαν.

95 = S 75 A 58. Latinae uersiones extant duo, in Collectione CT 60 et in Collectione Winteriana 11

Ἐντολὴ πραχθεῖσα παρὰ τῆς ἁγίας συνόδου τοῖς ἀποσταλεῖσι παρ' αὐτῆς ἐν Κωνσταντινουπόλει εὐλαβεστάτοις ἐπισκόποις ὥστε αὐτοὺς δικάσασθαι τοῖς ἀπὸ τῆς Ἀνατολῆς

1 Τῶι θεοφιλεστάτωι καὶ θεοσεβεστάτωι πρεσβυτέρωι Φιλίππωι, διέποντι τὸν τόπον τοῦ L III 781 ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς ἀποστολικῆς καθέδρας τοῦ τῆς μεγάλης Ῥώμης M IIII 1457

---

P [= hk], S, D [= mn], AWΛtΛc

1 ἀντιοχέα A 2 Κελεστιανούς] κελεστίω τούσ W καὶ SA τε καὶ P om DW ἐγκαταμῖξαι PΛ ἐντάξαι SDAW 3 ἐκείνουσ τε καὶ ἡμᾶσ P τε om. D διαπέμψαι P 4 μὲν PSDAWΛ, melius deesset ἡμᾶσ PA 5 προτραπέντεσ A 7 ἐλέγχουσ P 7/8 διὰ τοῦτο ἀκοινώνητοι P 8 παρὰ] διὰ P 10 τούσ in τοῦ corr. W 10/11 αὐτῶν — Νεστορίου om W 10 καὶ μέχρι νῦν om P 11 τὴν καθαίρεσιν A μὴ ἀνασχομένουσ W 13 τό] τοῦ P 16 ὑπό P 18 ἡμῖν W παραδιδομένη P ante καὶ superscr ἢ W ἀνηνεγμένοισ P 20 τι̅ καὶ η̅ A τριακοσίων δεκαοκτὼ PD δὲ PSW μὲν D μὲν γὰρ A αὐτῶ A *eius* Λ αὐτῆ PSW αὐτοῖσ D 21 τοῦ om S 22 διὰ πάντων φυλάξαι S 23 ὑμετέραν εὐσεβῆ P 24 ὅσουσ PΛ οὓσ SDAW καὶ om P

V, P [= hk], S, D [= mn], AWΛtΛcΛu

ζήτει τὰ προβάντα μετὰ τὴν τοιαύτην ἐντολὴν κατὰ ἀκολουθίαν ἐν τῶι δευτέρωι βιβλίωι, ἐν ὧι καὶ αὕτη προτέτακται SD in mg

ϛ̅ϛ̅ V πϛ̅ P 28/29 ἐντολὴ [ἐπιστολὴ SW] — ἀνατολῆσ SDAWΛ Ἐντολιμαῖον γράμμα πρὸσ τούσ ἐξῆσ ὥστε ἐν κωνσταντινουπόλει δικάσασθαι [δικάσασθαι ἐν κωνσταντινουπόλει P] πρὸσ ἰωαννην ἐπίσκοπον ἀντιοχείασ VP 28 αὐτῆσ τῆσ ἁγίασ συνόδου SDW 30 θεοσεβεστατω καὶ θεοφιλεστάτω SW 31 ἁγιωτάτου VPAΛ εὐλαβεστάτου SDW καὶ θεοφιλεστάτου om VD καὶ ὁσιωτάτου P *et pientissimi* Λw ἀρχιεπισκόπου PAΛ ἐπισκόπου VSDW μεγίστησ VP

Κελεστίνου, καὶ τοῖς θεοφιλεστάτοις καὶ ἁγιωτάτοις ἐπισκόποις Ἀρκαδίωι Ἰουβεναλίωι Φλαβιανῶι Φίρμωι Θεοδότωι Ἀκακίωι Εὐοπτίωι ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ χάριτι θεοῦ καὶ θεσπίσματι τῶν εὐσεβεστάτων βασιλέων συναχθεῖσα ἐν τῆι Ἐφεσίων μετροπόλει ἐν κυρίωι χαίρειν. Ἐπιτραπέντες παρὰ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων πρεσβευτὰς ἀποστεῖλαι ὑπὲρ πάσης ὁμοῦ τῆς οἰκουμένης, ἥτις διὰ τῶν ἐν τῆι Ἐφεσίων πόλει συνειλεγμένων μεθ' ἡμῶν τὸν ὑπὲρ τῆς ὀρθῆς πίστεως ἀνείληφεν ἀγῶνα, ἐψηφισάμεθα τὴν ὑμετέραν θεοσέβειαν, ὡς ἐνώπιον τοῦ Χριστοῦ ὑμῖν τὴν ὑπὲρ τῆς ὀρθοδοξίας καὶ τῶν
L III 781 ἁγίων πατέρων καὶ ἀδελφῶν τοῦ τε ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ τοῦ θεοφιλεστάτου συνεπισκόπου Μέμνονος πρεσβείαν ἐγχειρίσαντες. ἀμφοτέρων δὲ ποιούμενοι πρόνοιαν καὶ τῆς ἑαυτῶν ἀσφαλείας καὶ τῆς ὑμετέρας, τοῦτο ὑμῖν τὸ ἐντολικὸν ὠρέξαμεν, ὥστε καὶ ἡμᾶς εἰδέναι ἐπὶ τίσιν ὑμᾶς ἐξεπέμψαμεν, καὶ τὴν ὑμετέραν θεοσέβειαν γινώσκειν ὅτιπερ οὐδὲν παρὰ ταῦτα ποιῆσαι ὀφείλετε. πρὸ πάντων μὲν οὖν ἐκεῖνο εἰδέναι χρὴ τὴν ὑμετέραν ὁσιότητα ὅτιπερ τὴν πρὸς Ἰωάννην τὸν Ἀντιοχείας καὶ τὸ σὺν αὐτῶι τῆς ἀποστασίας συνέδριον κοινωνίαν κατ' οὐδένα τρόπον καταδέξασθαι ὀφείλετε διὰ τὸ μήτε ἑλέσθαι αὐτοὺς συγκαθελεῖν ἡμῖν τὸν τῆς ἀσεβείας κήρυκα Νεστόριον, ἀλλὰ καὶ τὸν ὑπὲρ ἐκείνου λόγον μέχρι τῆς ὑμετέρας ἐξόδου ποιεῖσθαι, τολμῆσαι δὲ παρὰ πάντας τοὺς κανόνας κατακρῖναι τόν τε ἁγιώτατον καὶ θεοφιλέστατον ἀρχιεπίσκοπον Κύριλλον καὶ τὸν ἁγιώτατον καὶ θεοφιλέστατον ἐπίσκοπον Μέμνονα, ἄλλως δὲ διὰ τὸ ἔτι καὶ νῦν τοῖς Νεστορίου συναγωνίζεσθαι δόγμασι καὶ τινὰς τῶν ἐν αὐτοῖς εἶναι Κελεστιανοὺς καὶ καθηιρημένους καὶ τὴν τῆς οἰκουμένης σύνοδον τολμῆσαι ὡς αἱρετικὴν διαβαλεῖν. εἰ δὲ ἄρα ἀνάγκη τις παρὰ τοῦ εὐσεβεστάτου προσάγοιτο βασιλέως, ἐπειδὴ χρὴ φιλοχρίστωι καὶ εὐσεβεῖ θεσπίσματι κατὰ δύναμιν πειθαρχεῖν, εἰ ἕλοιντο οἱ προειρημένοι ὑπογράψαι μὲν τῆι καθαιρέσει Νεστορίου, διὰ λιβέλλων δὲ συγγνώμην αἰτῆσαι παρὰ τῆς ἁγίας συνόδου ἐφ' οἷς προεπετεύσαντο κατὰ τῶν ἡμετέρων προέδρων, ἀναθεματίσαι δὲ καὶ τὰ Νεστορίου δόγματα καὶ τοὺς προδήλως τὰ αὐτοῦ φρονοῦντας ἢ φρονήσαντας ἀπορρίψασθαι καὶ σὺν ἡμῖν πονῆσαι εἰς τὸ ἀποδοθῆναι ἡμῖν τοὺς ἁγιωτάτους ἀρχιεπισκόπους Κύριλλον καὶ Μέμνονα, ἐπιτρέπομεν τῆι ὑμετέραι ἁγιότητι, τούτων γινομένων, ὑποσχέσθαι μὲν αὐτοῖς τὴν κοινωνίαν, γράψαι δὲ
M IIII 1460 πρὸς ἡμᾶς, ὥστε καὶ ἡμῶν ὑμῖν συντιθεμένων τελείαν τὴν πρὸς αὐτοὺς γενέσθαι εἰρήνην· μὴ πρότερον δὲ τὴν κοινωνίαν αὐτοῖς ὑποσχέσθαι, εἰ μὴ τοὺς προέδρους ἑαυτῆς ἀπολάβοι ἡ ἁγία σύνοδος. εἰδέναι δὲ βουλόμεθα τὴν ὑμετέραν ὁσιότητα ὅτιπερ εἴ τι τούτων παροφθείη παρ' ὑμῶν, οὔτε ἡ ἁγία σύνοδος καταδέξεται τὰ παρ' ὑμῶν πραττόμενα οὔτε ὑμᾶς ἕξει κοινωνούς.

---

V, P [= hk], S, D [= mn], AWΛ$^{t}$Λ$^{c}$Λ$^{w}$

1 θεοφιλεστάτοισ VPAΛ$^{tc}$ θεοσεβεστάτοισ SDWΛ$^{w}$ καὶ ἁγιωτάτοις om. VP 1/2 φλαυιανῶ SD 2 εὐοπίῳ S καὶ εὐοπτίῳ P 2—4 ἡ ἁγία — χαίρειν om. W 4 καὶ φιλοχρίστων om. V καὶ θεοφιλεστάτων καὶ φιλοχρίστων P 5 ἐξαποστεῖλαι VP οἰκουμενικῆσ συνόδου P μητροπόλει P 6 μεθ'] ἀνθ' W ἀνείληφεν ἀγῶνα πίστεωσ SDW ἀνειλήφει P ἐψηφίσατο P 7 ὡς om. S 8 θεοφιλεστάτου VPAΛ ὁσιωτάτου SDW 8/9 Κυρίλλου — συνεπισκόπου om. V 9 θεοφιλεστάτου DAWΛ ἁγιωτάτου καὶ ὁσιωτάτου P om. S συνεπισκόπου AWΛ συνεπισκόπου ἡμῶν S ἐπισκόπου PD ἐγχειρήσαντεσ P 10 πρόνοιαν ποιούμενοι VP τὸ om. P 11 ὑμᾶσ PW, corr. W ἡμᾶσ S 12 οὐδὲ P 13 τὸν om. D 14 δέξασθαι S 17/18 ἀρχιεπίσκοπον — θεοφιλέστατον om. V ἐπίσκοπον W 18 καὶ θεοφιλέστατον om. SW καὶ θεοσεβέστατον Λ$^{tc}$ δὲ SDAW τε P τε καὶ V 19 καὶ[2] SDAWΛ ἔτι τε P ἔτι τε καὶ V 20 τολμῆσαι om. VP διαβάλλειν VP ἄρα SDAWΛ om. VP 21 εὐλαβεστάτου W προσάγοιτο SAW προάγοιτο D ἐπάγοιτο VP ἐπειδὴ PA ἐπειδήπερ SDW ἐπεὶ V χρὴ SDAW δεῖ VP 22 θεσπίσματι DAWΛ δόγματι S κράτει VP πειθαρχεῖν κατὰ δύναμιν S 22/23 νεστορίου καθαιρέσει VP 24 δὲ DAWΛ$^{c}$ om. S δὲ πρωτοτύπωσ VP τὰ νεστορίου δόγματα VPAΛ τοῦ νεστορίου τὸ δόγμα SW τὸ νεστορίου δόγμα D 25 αὐτοῦ SDAWΛ αὐτὰ VP ἢ AΛ καὶ VPSDW πονέσαι P 27 γενομένων SD μὲν om. P 28 συντεθειμένων P 29 τὴν κοινωνίαν αὐτοῖσ A κοινωνίαν αὐτοῖσ SDW αὐτοῖσ κοινωνίαν VP αὐτῆσ SDW 30 τούτων τὶ SDW 31 καταδέξασθαι V ἡμῶν S οὔτε δὲ SDW κοινωνικοὺσ AW

## Ὑπογραφαί

[1] Βηρινιανὸς ἐπίσκοπος Πέργης ἐντειλάμενος ὑπέγραψα

[2] Ἐρενιανὸς ἐπίσκοπος ὑπέγραψα
[3] Δαλμάτιος ἐπίσκοπος ὑπέγραψα
[4] Σεβῆρος ἐπίσκοπος ὑπέγραψα
[5] Πίος ἐπίσκοπος ὑπέγραψα
[6] Ἑλλάνικος ἐπίσκοπος ὑπέγραψα
[7] Παλλάδιος ὁμοίως
[8] Ἀμφιλόχιος ὁμοίως
[9] Περιγένης ὁμοίως
[10] Ἰκόνιος ὁμοίως
[11] Οὐαλεριανὸς ὁμοίως
[12] Κῦρος ὁμοίως
[13] Ἀριστόνικος ὁμοίως
[14] Μαιόνιος ὁμοίως
[15] Δυνατὸς ὁμοίως
[16] Ἰδδούας ὁμοίως
[17] Ἐπιφάνιος ὁμοίως
[18] Γρηγόριος ὁμοίως
[19] Ἡσύχιος ὁμοίως
[20] Τριβουνιανὸς ὁμοίως
[21] Φίλιππος ὁμοίως
[22] Ἡρακλέων ὁμοίως
[23] Πέτρος ὁμοίως
[24] Θεοδόσιος ὁμοίως
[25] Εὐσέβιος ὁμοίως
[26] Βενάντιος ὁμοίως
[27] Ἀνύσιος ὁμοίως
[28] Δομνῖνος ὁμοίως
[29] Ζηνόβιος ὁμοίως
[30] Ἀέτιος ὁμοίως
[31] Τιμόθεος ὁμοίως
[32] Εὐγένιος ὁμοίως
[33] Κάλλιππος ὁμοίως
[34] Ἰωάννης ὁμοίως
[35] Θεόδοτος ὁμοίως
[36] Ἀβλάβιος ὁμοίως
[37] Δομνῖνος ὁμοίως
[38] Εὐστάθιος ὁμοίως
[39] Κωνστάντιος ὁμοίως
[40] Ἐννέπιος ὁμοίως
[41] Εὐπρέπιος ὁμοίως
[42] Παράλιος ὁμοίως
[43] Σιλουανὸς ὁμοίως
[44] Λιμένιος ὁμοίως
[45] Κύριλλος ὁμοίως
[46] Εὔπορος ὁμοίως
[47] Ῥόδων ὁμοίως
[48] Τυχικὸς ὁμοίως
[49] Μαρτύριος ὁμοίως
[50] Θωμᾶς ὁμοίως
[51] Νικίας ὁμοίως
[52] Νεστόριος ὁμοίως
[53] Θεόδωρος ὁμοίως
[54] Ἀρχέλαος ὁμοίως
[55] Ἀφόβιος ὁμοίως
[56] Ἑρμόλαος ὁμοίως
[57] Μακάριος ὁμοίως
[58] Δοκιμάσιος ὁμοίως
[59] Θεοσέβιος ὁμοίως
[60] Δόμνος ὁμοίως
[61] Ἀστέριος ὁμοίως
[62] Ῥηγῖνος ὁμοίως
[63] Σενεκίων ὁμοίως
[64] Βεσσούλας διάκονος ὁμοίως
[65] Μάξιμος ὁμοίως
[66] Θεόδουλος ὁμοίως
[67] Κόμοδος ὁμοίως
[68] Μόδεστος ὁμοίως
[69] Ἀριστόβουλος ὁμοίως
[70] Εὐθάλιος ὁμοίως
[71] Ἡράκλειος ὁμοίως
[72] Παῦλος ὁμοίως
[73] Θέων ὁμοίως
[74] Ἱέρακυς ὁμοίως
[75] Χρυσαόριος ὁμοίως
[76] Ἑρμογένης ὁμοίως
[77] Ἀριστόκριτος ὁμοίως

---

ὑπογραφαί — [140] Παῦλος] subscriptionibus omnibus omissis in fine nr. 95 habent δοθέντων ἐπὶ τούτοις λιβέλλων ἀντιρρητικῶν παρὰ τῆς ἁγίας συνόδου καὶ τῶν μνημονευθέντων ἀποσταλέντων ἐντολικαρίων, ἀπέστειλε καὶ τὸ ἕτερον μέρος τοῦ Ἰωάννου ἐντολικαρίους ἐν Κωνσταντινουπόλει· ἧς ἐντολῆς τὸ ἴσον καθὼς ἑξῆς περιέχει οὕτως: — VP

S, D [= mn], AW$\Lambda^{t}\Lambda^{c}\Lambda^{w}$

ὑπογραφαί A$\Lambda^{w}$ om. SDAW$\Lambda^{tc}$ [1] βηριανὸσ A$\Lambda^{tw}$ βερηνιανὸσ SDW$\Lambda^{c}$ ἐντειλάμενοσ A$\Lambda^{tc}$ ἐντεταλμένοσ SDW$\Lambda^{w}$ ὑπέγραψεν W [2—140] A$\Lambda^{w}$ om. SDW$\Lambda^{tc}$ substituendo ὑπέγραψαν δὲ καὶ [καὶ om. S] πάντεσ οἱ προταγέντεσ ἐν τῆι στάσει τῶν ὑπομνημάτων θεοσεβέστατοι καὶ ἁγιώτατοι ἐπίσκοποι SDW$\Lambda^{tc}$ [33] κάλιππος A [39] *Constantinus* $\Lambda^{w}$ [64] διάκονος om. $\Lambda^{w}$

78 Ἀλέξανδρος ὁμοίως
79 Λαμπέτιος ὁμοίως
80 Σεβῆρος ὁμοίως
81 Αἰδέσιος ὁμοίως
82 Ἀπελλᾶς ὁμοίως
83 Ἀλύπιος ὁμοίως
84 Ἀνδήριος ὁμοίως
85 Παῦλος ὁμοίως
86 Μακεδόνιος ὁμοίως
87 Ἀκάκιος ὁμοίως
88 Σπουδάσιος ὁμοίως
89 Ἀφθόνιος ὁμοίως
90 Φιλητὸς ὁμοίως
91 Προμάχιος ὁμοίως
92 Νεκτάριος ὁμοίως
93 Μητρόδωρος ὁμοίως
94 Δωρόθεος ὁμοίως
95 Ταριανὸς ὁμοίως
96 Ἀβραὰμ ὁμοίως
97 Πέτρος ὁμοίως
98 Εὐδόξιος ὁμοίως
99 Ἀδέλφιος ὁμοίως
100 Εὐλόγιος ὁμοίως
101 Θεωνᾶς ὁμοίως
102 Κῦρος ὁμοίως
103 Μαρκελλῖνος ὁμοίως
104 Εὐάγριος ὁμοίως
105 Θεόδωρος ὁμοίως
106 Σόλων ὁμοίως
107 Ματιδιανὸς ὁμ ίως
108 Εὐσέβιος ὁμοίως
109 Ἡρακλείδης ὁμοίως
110 Ἄμμων ὁμοίως
111 Ζηνόβιος ὁμοίως
112 Ζήνων ὁμοίως
113 Ἰσαὰκ ὁμοίως
114 Νατηρᾶς ὁμοίως
115 Τιμόθεος ὁμοίως
116 Ζήνων ὁμοίως
117 Εὐσέβιος ὁμοίως
118 Φιλάδελφος ὁμοίως
119 Μακάριος ὁμοίως
120 Παβίσκος ὁμοίως
121 Ἀνδρέας ὁμοίως
122 Φοιβάμμων ὁμοίως
123 Σαβῖνος ὁμοίως
124 Εὐσέβιος ὁμοίως
125 Ἀλέξανδρος ὁμοίως
126 Σάαδος ὁμοίως
127 Εὐθήριος ὁμοίως
128 Πέτρος ὁμοίως
129 Ἰωάννης ὁμοίως
130 Ἄμμων ὁμοίως
131 Ῥωμανὸς ὁμοίως
132 Παῦλος ὁμοίως
133 Ἰωάννης ὁμοίως
134 Ῥουφῖνος ὁμοίως
135 Νήσιος ὁμοίως
136 Θωμᾶς ὁμοίως
137 Ἰωάννης ὁμοίως
138 Τιμόθεος ὁμοίως
139 Εὐσέβιος ὁμοίως
140 Παῦλος ὁμοίως

**96** = S 76 A 60. S 111 A 61. Latinae uersiones extant tres partis prioris, in Collectione CT 62 [Λ^tc], in Collectione C 111 [Λ^g] et in Collectione Winteriana 13 [Λ^w], et tres partis alterius, in Collectione C 110 [Λ^c], in Collectione Winteriana 14 [Λ^w] et in Collectione Sichardiana 5 [Λ^s]

Ἐντολὴ πραχθεῖσα παρὰ τῶν Ἀνατολικῶν τοῖς ἀποσταλεῖσι παρ' αὐτῶν ἐν Κωνσταντινουπόλει ἐπισκόποις ὥστε δικάσασθαι μετὰ τῶν ἀποσταλέντων παρὰ τῆς οἰκουμενικῆς συνόδου ὀρθοδόξων ἐπισκόπων ἐν τῆι αὐτῆι Κωνσταντινουπόλει

I. III 724 / II IIII 1.400 Ἡ ἁγία σύνοδος ἡ ἐν Ἐφέσωι συγκροτηθεῖσα τοῖς θεοφιλεστάτοις καὶ ὁσιωτάτοις Ἰωάννηι ἀρχιεπισκόπωι τῆς Ἀντιοχέων μεγαλοπόλεως καὶ Ἰωάννηι ἐπισκόπωι τῆς Δαμασκη-

ζήτει καὶ τὰ ἐπὶ ταύτηι παρακολουθήσαντα ἐν τῶι δευτέρωι βιβλίωι ὁμοίως SD in mg.

V, P [= hk], S, D [= mn], ΛΛ^tΛ^cΛ^gΛ^w

ξζ V πζ P    37–39 Ἐντολὴ — Κωνσταντινουπόλει SDA cf. Λ^tcw ἴσον ἐντολῆς V ἴσον ἐντολικαρίου P cf. notam ad p. 35 1–140    39 ὀρθοδόξοισ ἐπισκόποισ S    τῆι om. S    40 κροτηθεῖσα A    ὁσιωτάτοισ VP ἁγιωτάτοισ SDA    41 ἀρχιεπισκόπω VPAΛ^gw ἐπισκόπω SDΛ^tc    μεγαλονπόλεωσ D μεγάλησ πόλεωσ P    41/p. 37, 1 τῆσ δαμασκηνῶν ἐπισκόπω μητροπόλεωσ [μητροπόλεωσ ἐπισκόπω P] VP

νῶν μητροπόλεως καὶ Ἱμερίωι ἐπισκόπωι τῆς Νικομηδέων μητροπόλεως καὶ Παύλωι ἐπισκόπωι τῆς Ἐμισηνῶν, ποιουμένωι τὸν λόγον καὶ ὑπὲρ τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀκακίου τοῦ Βεροίας, καὶ Μακαρίωι ἐπισκόπωι τῆς Λαοδικέων πόλεως, ποιουμένωι τὸν λόγον καὶ ὑπὲρ Κύρου ἐπισκόπου τῆς Τυρίων μητρ πόλεως, καὶ Ἀπριγγίωι ἐπισκόπωι τῆς Χαλκιδέων, ποιουμένωι τὸν λόγον καὶ ὑπὲρ Ἀλεξάνδρου ἐπισκόπου τῆς Ἀπαμέων μητροπόλεως, καὶ L III 725
Θεοδωρήτωι ἐπισκόπωι τῆς Κυρεστῶν πόλεως, ποιουμένωι τὸν λόγον καὶ ὑπὲρ Ἀλεξάνδρου 6
ἐπισκόπου τῆς Ἱεραπολιτῶν μητροπόλεως, καὶ Ἑλλαδίωι ἐπισκόπωι Πτολεμαΐδος παρόντες παροῦσιν ἐνετειλάμεθα τὰ ὑποτεταγμένα

Ἐπειδὴ τῆς ἐκκλησιαστικῆς ἕνεκεν ὑποθέσεως δι' ἣν ἅπαντες ἐκλήθημεν εἰς τὴν Ἐφεσίων, ἐπὶ τοῦ παρόντος ἡ ὑμετέρα θεοσέβεια κατὰ θέσπισμα τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων ἐπὶ τὴν μεγαλώνυμον ἐκλήθη Κωνσταντινούπολιν ὑπὲρ τοῦ συναγωνίσασθαι τῆι ἀληθείαι καὶ τῆι πίστει τῶν ἁγίων πατέρων καὶ τοῖς δόγμασι τοῖς ὀρθοῖς, οὐ προσετάχθημεν δὲ ἅπαντες παρεῖναι ὑμῖν, ἔδει δὲ τὴν γνώμην πάντων ἡμῶν κατάδηλον ποιῆσαι ὡς ἐμμένομεν καὶ κύρια ἡγούμεθα τὰ ὑφ' ὑμῶν πραττόμενα καὶ συντείνοντα εἰς τὸν τοῦ θεοῦ φόβον καὶ εἰς τὴν ἐκκλησιαστικὴν εἰρήνην τε καὶ εὐταξίαν, τούτου ἕνεκεν τόδε ὑμῖν τὸ ἐντολικὸν πεποιήμεθα, δι' οὗ ἐντελλόμεθα καὶ ἐπιτρέπομεν ὁλοτελῆ τε ἐξουσίαν δίδομεν, ἥνπερ καὶ αὐτοὶ παρόντες εἴχομεν, ὥστε σὺν θεῶι παραγενομένους ὑμᾶς ἐπὶ τῆς προειρημένης μεγαλοπόλεως, εἴτε ἐπὶ τοῦ εὐσεβεστάτου βασιλέως δέοι εἴτε ἐν κονσιστορίωι εἴτε ἐπὶ τῆς ἱερᾶς συγκλήτου εἴτε ἐν συνόδωι πατέρων ὁ λόγος κινοῖτο ὁ περὶ τῶν ζητουμένων, τοῦτον μετὰ τῆς προσηκούσης ὑμῖν παρρησίας τε καὶ συνέσεως καὶ ἐμμελείας κινῆσαι ὑπὲρ τοῦ κοινοῦ τῶν ἐκκλησιῶν καὶ ἀναδέξασθαι τὸν ἀγῶνα τὸν ὑπὲρ ἡμῶν ἁπάντων, ἡμῶν δηλαδὴ ἐμμενόντων καὶ στοιχούντων καὶ στεργόντων καὶ κύρια ἡγουμένων πάντα τὰ ὑφ' ὑμῶν πραττόμενα ἕνεκα ταύτης τῆς ὑποθέσεως ἢ πραχθησόμενα. εἰ δέ που καὶ χρεία γένοιτο συμβιβασμοῦ ἢ εἰρήνης ἐκκλησιαστικῆς ἢ ἑτέρου τινὸς ἀπαιτοῦντος ὑπογραφὴν ὑπὲρ πάντων ἡμῶν ἕνεκα, καὶ τοῦτο αὐτὸ παρακαλοῦμεν τὴν ὑμετέραν ἁγιωσύνην μὴ ὀκνῆσαι ποιῆσαι ὑπὲρ τοῦ λυσιτελοῦντος τῶι κοινῶι καὶ ὑπὲρ τῆς δόξης τοῦ δεσπότου Χριστοῦ. εἰ δὲ καὶ συνοδικὸν δόξει ἀποσταλῆναι παρ' ὑμῶν ἐνταῦθα ἀπαιτοῦν πάντων τὴν ὑπογραφήν, ὁμολογοῦμεν ἅπαντες κοινῆι καὶ ἰδίαι ἕκαστος τούτωι καθυπογράφειν μετὰ πάσης προθυμίας καὶ ἐξαποστέλλειν εἰς τὸ εὐσεβὲς στρατόπεδον, δήλου ἐκείνου τυγχάνοντος ὡς παντὶ τρόπωι τῶν κεφαλαίων τῶν αἱρετικῶν τῶν ὑπὸ Κυρίλλου τοῦ Ἀλεξανδρέως ἐπεισαχθέντων τῆι πίστει τῶν πατέρων τῶν κατὰ Νίκαιαν μετὰ ἀναθεματισμῶν ἐκβαλλομένων ὡς ἀλλοτρίων M IIII 1401
τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας.

---

V, P [= hk], S, D [= mn], ΑΛtΛcΛgΛw

1—3 καὶ παύλω — βερροιαίων ante καὶ ἱμερίωι coll. ΑΛw    1 ἡμερίω S    πόλεωσ A    2 ἐμεσηνῶν VP    ἁγιωτάτου V *sanctissimo et sacratissimo* Λg    3 τοῦ] τῆσ V    βερροίασ VP *Beroeae* Λtcg τῆσ βεροιαίων [βερροιαίων DA] SDA    4 ὑπὲρ] ὑπὲρ τοῦ ὁσιωτάτου ἐπισκόπου ἀκακίου τῆσ λαοδικέων πόλεωσ καὶ ὑπὲρ V    πόλεωσ V    ἀπριγκίω S    5 τοὺσ λόγουσ VP    5—7 τῆς Ἀπαμέων — ἐπισκόπου om V    5 ἐπισκόπου om P    ἀπαμέων μητροπόλεωσ PΛtcg ἀπαμείασ SDAΛw    6 θεοδωρίτου ἐπισκόπου P    θεοδωρίτω DA    κυρατῶν P    9 ἕνεκα VP    πάντεσ SDA    εἰσ τὴν VP ἐπὶ τῆ Sn ἐπὶ τῆσ mA    10 ἐπὶ τοῦ παρόντοσ VPΑΛ οἱ παρόντεσ καὶ SD    ἡ ὑμετέρα θεοσέβεια] *uestra nouit pietas quod* Λw    καὶ κατὰ D    10/11 βασιλέων ἡμῶν SDA    11 ἐκλήθη Λtcg ἐκλήθημεν VPSDAΛw    11/12 ἀληθείᾳ] ἐκκλησίᾳ S    13 πάντεσ SDA    ἡμῶν πάντων DA ὑμῶν πάντη S    14 τὰ SDAΛ πάντα τὰ VP    ἡμῶν VSΛw    15 τοῦδε P    16 διδόαμεν SDA    17 αὐτοὶ SDAΛtcg om VPΛw    17 ἡμᾶσ P    17/18 μεγαλουπόλεωσ D    18 κοσιστορίω P σοσιστωρίω S    19 ὁ² om. VP    20 προσηκούσησ ΑΛ προσούσησ VPSD    εὐμελείασ D    21 ἁπάντων ἡμῶν δηλαδὴ PDΛtg ἁπάντων δηλαδὴ VAΛw ἁπάντων ἡμῶν S    22 ἡμῶν S    23 ἕνεκεν SDA    ἢ Λtcg ἢ καὶ VP καὶ SDA    23/24 συμβιβασμοῦ SDAΛtcg ἢ συμβιβασμοῦ V ἢ συμβιβασμὸσ P    26 συντελοῦντοσ P    27 ἡμῶν VD    ἀπαιτοῦν πάντων ΑΛgw ἀπαιτούντων VPSDΛtc    28 πάντεσ SDA    τοῦτο VP    30 ἀλεξανδρείασ V ἀλεξανδρέων S    ἐπεισαχθέντων SDAΛtcw ὑπεισαχθέντων VPΛg    31 ἀναθεματισμοῦ P

Ἀλέξανδρος ἐπίσκοπος μητροπολίτης Ἱερᾶς πόλεως· Εἴ τι κατὰ τὴν ἐκτεθεῖσαν πίστιν ὑπὸ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι διαπράξεσθε μήτε ἐπεισαγομένου τινὸς τῆι πίστει τῶν ἁγίων πατέρων καὶ ἐκβαλλομένων τῶν αἱρετικῶν κεφαλαίων Κυρίλλου τοῦ Ἀλεξανδρέως, τούτωι συγκατατίθεμαι. ταύτηι γὰρ τῆι ἐκθέσει τῆς πίστεως καὶ ἤδη μετὰ τῆς ἁγίας συνόδου τῆς σὺν ὑμῖν καθυπέγραψα.

Δωρόθεος ἐπίσκοπος Μαρκιανουπόλεως δευτέρας Μυσίας γεγράφηκα ὡσαύτως, ἐντει-
L III 728 λάμενος ὡς πρόκειται.

Συνυπέγραψαν δὲ καὶ οἱ λοιποὶ πάντες.

Δοθείσης δὲ τῆς ἐντολῆς, συναπεδόθη καὶ τόμος περιέχων οὕτως

L III 701 Ἡ ἁγία σύνοδος ἥ τε τῆς Ἀνατολικῆς διοικήσεως καὶ οἱ σὺν αὐτοῖς ἐκ διαφόρων
M IIII 1376 διοικήσεων καὶ ἐπαρχιῶν συνηγμένοι, Βιθυνίας Πισιδίας Καππαδοκίας δευτέρας Παφλαγονίας Εὐρώπης Μυσίας Ῥοδόπης Θεσσαλίας Δακίας διελάλησαν τὰ ὑποτεταγμένα

Τῶν ἔναγχος ἀναφυέντων ἐκκλησιαστικῶν ἕνεκα ζητημάτων εἰς τὴν Ἐφεσίων πόλιν συγκληθέντες ὑπὸ τῶν δικαίως βασιλεύειν ὑπὸ τοῦ θεοῦ δοκιμασθέντων καὶ τῆς οἰκουμένης τοὺς οἴακας ἐγχειρισθέντων τῶν σοφῶς τε καὶ εὐσεβῶς τοὺς ὑπηκόους ἰθυνόντων, ἀόκνως τὴν προειρημένην κατελάβομεν πόλιν. χρόνου δὲ τριβέντος οὐκ ὀλίγου διὰ τὰς γεγενημένας ὑπὸ
ep. 31. 83. 93 Κυρίλλου τοῦ Αἰγυπτίου ταραχὰς καὶ δὶς καὶ τρὶς γραμμάτων φοιτησάντων παρὰ τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων παρεγγυώντων τῶι συνδέσμωι τῆς εἰρήνης ἑνῶσαι τὰς ἁπανταχοῦ τοῦ θεοῦ ἐκκλησίας καὶ ἀρκεσθῆναι τῆι ἐν Νικαίαι ὑπὸ τῶν μακαριωτάτων πατέρων ἐκτεθείσηι πίστει, ἐκβαλλομένων δηλαδὴ τῶν ἀρτίως ἀναφυέντων σκανδάλων, ἐπειράθημεν μὲν τοὺς τὰ τοῦ Αἰγυπτίου φρονοῦντας ἐπισκόπους καὶ τοῖς ὑπ' αὐτοῦ ἐκτεθεῖσιν αἱρετικοῖς κεφαλαίοις καθυπογράψαντας πεῖσαι ἀνελεῖν μὲν ἐκεῖνα τὰ τῆι ὀρθοδόξωι πίστει σαφῶς λυμαινόμενα, ἀρκεσθῆναι δὲ τῆι ἐν Νικαίαι γενομένηι ἐκθέσει κατὰ τὸ θέσπισμα τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων· μὴ δυνηθέντες δὲ αὐτοὺς πεῖσαι διὰ τὴν κακῶς γενομένην αὐτοῖς πρόληψιν, ἠναγκάσθημεν οἱ τῆι ὑγιεῖ τῶν πατέρων ἐμμένοντες πίστει καὶ μηδὲν αὐτῆι ξένον παρεισαχθῆναι συγχωροῦντες ταύτην ἐγγράφως ἐκθέσθαι καὶ ταῖς ὑπογραφαῖς τὴν οἰκείαν ὁμολογίαν βεβαιῶσαι. ἀρκεῖ γὰρ τῶν ὀλίγων τούτων ῥημάτων ἡ ἔκθεσις καὶ τῆς εὐσεβείας διδάξαι τὸ ἀκριβὲς καὶ τῆς ἀληθείας ὑποδεῖξαι τὴν τρίβον καὶ τῆς αἱρετικῆς κακοδοξίας διελέγξαι τὴν πλάνην.

---

10—29 V, P [= hk], S, D [= mn], ΑΛ$^{c}$Λ$^{w}$Λ$^{s}$ [cf. supra p. 36]. conscripsit Theodoretus, cf. Coll. Cas. 184 uol. IIII p. 133, 37

1—9 om. Λ$^{s}$ 1 μητροπολίτησ ἱερᾶσ πόλεωσ PΛ$^{tc}$ μητροπόλεωσ ἱεραπόλεωσ V ἱεραπόλεωσ τῆσ μητροπόλεωσ SDAΛ$^{w}$ ἐντεθεῖσαν S 2 διαπράξησθε SD μήτι P μὴ S 3 τοῦ om. D ἀλεξανδρείασ V 4 τοῦτο P ταύτην S μετὰ] παρὰ A 5 ὑμῖν DAΛ$^{tcw}$ ἡμῖν VPS 7 πρόσκειται D προείρηται A 8 δὲ om. S πάντεσ SDAΛ$^{tcw}$ om. VP 9 om. SDAΛ$^{tcw}$ 10 ρς' D inscr. deest in VPSΛ$^{c}$ Ἔκθεσισ πίστεωσ ἣν ἐκθέμενοι οἱ ἀνατολικοὶ ἐπίσκοποι καὶ οἱ σὺν αὐτοῖσ καὶ ὑπογράψαντεσ αὐτῆ δεδώκασι τοῖσ παρ' αὐτῶν σταλεῖσιν ἐν κωνσταντινουπόλει A cf. Λ$^{w}$ Περὶ [Τὰ n] τῶν ἀποσχιστῶν D 11 πισιδίασ [πισσιδίασ VPS$^{corr}$ D] — παφλαγονίασ VPSDΛ$^{cs}$ et Facund. 7, 3 καππαδοκίασ δευτέρασ παφλαγονίασ πισιδίασ AΛ$^{w}$ 12 *Moesiae secundae* Λ$^{s}$ Fac. θεσσαλίασ δακίασ AΛ$^{cw}$ *Daciae Thessaliae* Λ$^{s}$ Fac. θεσσαλίασ VPSD διελάλησαν DAΛ$^{ws}$ διελάλησε VPSΛ$^{c}$ 13 ζητημάτων ἕνεκα SD μητρόπολιν SD 14 τοῦ θῦ VA θῦ PSD 14/15 τούσ οἴακασ τῆσ οἰκουμένησ V 15 τῶν om. A εὐθυνόντων VPS 15/16 εἰρημένην V 16 γεναμένασ SD 17 τοῦ αἰγυπτίου AΛ$^{cw}$ καὶ μέμνονοσ VPSDΛ$^{s}$ 17/18 εὐσεβεστάτων καὶ φιλοχρίστων SD 18 συνδέσμω AΛ$^{c}$ δεσμῶ VPSD 19 παρὰ D μακαριωτάτων AΛ$^{cw}$ μακαρίων VPSDΛ$^{s}$ 20 ἀρτίωσ AΛ om. VPSD ἀναφυομένων D 21 μὲν AΛ$^{ws}$ γὰρ VPSD τοῦ om. PSD αἰγυπτίου AΛ αἰγυπτίου κυρίλλου VPSD φρονήσαντασ VPSD 22 καθυπογράψαντεσ S ἀντανελεῖν P μὲν AΛ$^{s}$ om. VPSD τὰ om. SD 22/23 λυμαινόμενα σαφῶσ VPSD 24 εὐσεβεστάτων AΛ φιλοχρίστων VPSD 25 ἐπόμενοι SD 26 συγχωροῦντεσ A συγχωρήσαντεσ VPSD 28 τριβὴν S 29 ἐλέγξαι VPSD πλάνην AΛ πλάνην ἔστι δὲ ἡ ἔκθεσισ τῆσ πίστεωσ οὕτωσ [οὕτωσ ἔχουσα P] VPSD

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῶι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῶι οὐρανῶι καὶ τὰ ἐν τῆι γῆι, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα καὶ ἀναστάντα τῆι τρίτηι ἡμέραι, ἀνελθόντα εἰς οὐρανοὺς καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα. τοὺς δὲ λέγοντας »ἦν ποτε ὅτε οὐκ ἦν« καὶ »πρὶν γεννηθῆναι οὐκ ἦν« καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας, φάσκοντας εἶναι τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

Αὕτη ἐστὶν ἡ πίστις, ἣν ἐξέθεντο οἱ πατέρες, πρῶτον μὲν κατὰ Ἀρείου βλασφημοῦντος καὶ λέγοντος κτίσμα τὸν υἱὸν τοῦ θεοῦ, καὶ κατὰ πάσης δὲ αἱρέσεως Σαβελλίου τε καὶ Φωτεινοῦ καὶ Παύλου τοῦ Σαμοσατέως καὶ Μανιχαίου καὶ Οὐαλεντίνου καὶ Μαρκίωνος καὶ κατὰ πάσης αἱρέσεως ἥτις ἐπανέστη τῆι καθολικῆι καὶ ἀποστολικῆι ἐκκλησίαι, οὓς κατέκριναν οἱ ἐν τῆι Νικαέων πόλει συνηγμένοι ἐπίσκοποι τριακόσιοι δεκαοκτώ. ταύτηι τῆι ἐκθέσει τῆς πίστεως ἅπαντες ἐμμένειν ὁμολογοῦμεν ἡμεῖς τε οἱ ἐν Ἐφέσωι συνελθόντες καὶ οἱ ἐν ταῖς ἡμετέραις ἐπαρχίαις θεοφιλέστατοι ἐπίσκοποι, συνθέμενοι ἐμμένειν πᾶσι τοῖς ὑφ' ἡμῶν πραττομένοις. πειθόμεθα γὰρ τῶι σοφῶι λέγοντι μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου. τὰ δὲ ἔναγχος ὑπὸ Κυρίλλου τοῦ Ἀλεξανδρέως ἐκτεθέντα αἱρετικὰ κεφάλαια, οἷς καὶ ἀναθεματισμοὺς περιττοὺς καὶ ματαίους συνέζευξεν καὶ ἐπειράθη ταῦτα κυρῶσαι ψήφωι καὶ ὑπογραφῆι ἐπισκόπων, ἐκβάλλει καὶ ἀλλοτριοῖ τῆς ὀρθοδόξου πίστεως ἡ ἐν Ἐφέσωι συναθροισθεῖσα ἁγία σύνοδος.

cf Eccles. Occid. mon. iuris antiqu ed. Turner I 110sq

L III 704 M IIII 1377

Prou. 22, 28

Ἰωάννης ἐπίσκοπος Ἀντιοχείας τῆς Ἀνατολῆς συνεθέμην τῆι προγεγραμμένηι ἁγίαι πίστει.

Συνυπέγραψαν δὲ ὁμοίως καὶ οἱ λοιποὶ αὐτῶν ἐπίσκοποι, οἵτινες διὰ τῆς ἑξῆς αὐτῶν ἐπιστολῆς καὶ Ῥοῦφον ἐπίσκοπον συνάρασθαι αὐτοῖς ἠξίουν.

**97** = S 112 A 147

Τῶι θεοφιλεστάτωι καὶ ὁσιωτάτωι συλλειτουργῶι Ῥούφωι Ἰωάννης Ἱμέριος Θεοδώρητος καὶ οἱ καθεξῆς ἐν κυρίωι χαίρειν. Λίαν βεβλάφθαι τὴν εὐσέβειαν καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην ὑπὸ τῆς ἀπουσίας τῆς σῆς ἁγιωσύνης ἡγούμεθα· ἔπαυσε γὰρ ἂν παραγενομένη καὶ τὰς γεγενημένας συγχύσεις καὶ τὰς τολμηθείσας ἀταξίας καὶ σὺν ἡμῖν ἂν

L III 736 M IIII 1412

L III 737

---

25/26 epistula 97 ad Rufum non ab uniuersa synodo Epheso, sed a mandatariis Chalcedone scripta est

---

V, P [= hk], S, D [= mn], ΑΛcΛwΛs

1 τε om. V  3 ἐκ πρσ V  5 ἐν ουνῶ D  6 καὶ² om. ΑΛw  7 τοὺσ οὐρανοὺσ PD καὶ ἐρχόμενον ΑΛcw καὶ ἐν δεξιᾶ [ἐκ δεξιῶν SD] τοῦ πατρὸσ καθεσθέντα καὶ ἐρχόμενον VPSDΛs  8 τὸ ἅγιον πνα A τὸ πνα τὸ ἅγιον VPSD  8/9 καὶ πρὶν — ἦν om. PSDΛs  9/10 φάσκοντα S  10 τρεπτὸν ΑΛ ἢ τρεπτὸν VPSD  τούτους om. ΑΛws  καθολικὴ VPΛcs ἁγία καθολικὴ SDAΛw  13 κτίσμα ΑΛws κτίσμα εἶναι VPSDΛc  πάσησ δὲ αἱρέσεωσ PΑΛc πάσασ δὲ αἱρέσεισ SD πάσησ αἱρέσεωσ V  15 πᾶσαν αἵρεσιν SD  πάσησ ἄλλησ P  καθολικῆ καὶ ἀποστολικῆ ΑΛcw καθολικῆ VSDΛs om. P  καὶ κατέκριναν V  16 οἱ om. A  18 θεοφιλέστατοι ΑΛc θεοσεβέστατοι VPSDΛs  19 αἰώνια om. Λcs *antiquos* Λw  20 τοῦ om. SD  ἀλεξανδρείασ V  22 ταύτην SD  καὶ ψήφω καὶ V  ὑπογραφαῖσ SD  23 ἁγία om. VS  24—26 Ἰωάννης — ἠξίουν om. ΑΛ  24 ἁγίαι om. VP  25 συνέγραψαν P  αὐτῶν om. VPS  καὶ διὰ P

V, P [= hk], S, D [= mn], A

inscr. ἐπιστολὴ τῶν ἐν χαλκηδόνι ὄντων ἐκ τῶν ἀποσχισάντων πρὸσ τοὺσ ἐν ἐφέσωι A  ςζ V πη P ρζ' D  28 ἡμέριοσ SD  28/29 θεοδώριτοσ DA  31 γενομένασ SD

κατηγωνίσατο τὰς ἐπεισαχθείσας αἱρέσεις τῆι ὀρθοδόξωι πίστει καὶ τῆι εὐαγγελικῆι καὶ ἀποστολικῆι διδασκαλίαι, ἣν παῖδες παρὰ πατέρων ἀεὶ δεχόμενοι μέχρις ἡμῶν ταύτην παρέπεμψαν. ταῦτα δὲ οὐχ ἁπλῶς φαμέν, ἀλλὰ ἄλλον σκοπὸν τῆς σῆς ὁσιότητος μεμαθη- [cf. A 94] κότες ἐκ τῶν πρὸς τὸν θεοφιλέστατον καὶ ἁγιώτατον Ἰουλιανὸν τὸν τῆς Σερδικῆς ἐπίσκοπον παρὰ τῆς σῆς θεοσεβείας γραφέντων. ἐδήλου γὰρ τὰ γράμματα ὡς χρὴ τὸν προειρημένον θεοσεβέστατον ἐπίσκοπον συναγωνίσασθαι τῆι ἐκτεθείσηι πίστει ὑπὸ τῶν μακαρίων πατέρων τῶν ἐν Νικαίαι συναθροισθέντων καὶ μὴ συγχωρῆσαι μῶμον ἐκείνοις τοῖς βραχέσι ῥήμασιν ἐπεισαχθῆναι ἀρκοῦσι καὶ τὴν ἀλήθειαν δεῖξαι καὶ τὸ ψεῦδος ἐλέγξαι. ταῦτα ἡ μὲν ὁσιότης ἡ σὴ ὀρθῶς καὶ δικαίως καὶ εὐσεβῶς εἰσηγήσατο καὶ ὁ δεξάμενος τὰ γράμματα τῆι τῶν γραμμάτων ἠκολούθησε συμβουλῆι, πολλοὶ δὲ τῶν εἰς τὴν σύνοδον παραγενομένων [Ps. 13, 3] ἐξέκλιναν κατὰ τὸν προφήτην καὶ ἠχρειώθησαν, ἣν μὲν παρὰ τῶν πατέρων παρέλαβον πίστιν καταλιπόντες, τοῖς δὲ Κυρίλλου τοῦ Ἀλεξανδρέως δώδεκα κεφαλαίοις καθυπογράψαν- [M IIII 1413] τες, ἃ τῆς Ἀπολιναρίου γέμει κακοδοξίας, συμβαίνει δὲ καὶ τῆι Ἀρείου καὶ Εὐνομίου δυσσεβείαι καὶ ἀναθεματίζει πάντα τὸν μὴ δεχόμενον τὴν γυμνὴν ταύτην ἀσέβειαν. ταύτηι τῆι λύμηι τῆς πίστεως λίαν ἀντέστημεν οἵ τε ἀπὸ τῆς Ἑώιας συνεληλυθότες καὶ ἕτεροι οἱ ἐκ διαφόρων διοικήσεων, ὥστε τὴν ἐν Νικαίαι ἐκτεθεῖσαν ὑπὸ τῶν μακαρίων πατέρων κρατυνθῆναι πίστιν. οὐδὲν γὰρ αὐτῆι ἐλλείπει, ὡς οἶδεν ἡ σὴ ἁγιότης, εἴς τε διδασκαλίαν τῶν εὐαγγελικῶν δογμάτων καὶ εἰς ἔλεγχον πάσης αἱρέσεως. ὑπὲρ ταύτης ἀγωνιζόμενοι διατελοῦμεν, πάντων ὁμοῦ τῶν κατὰ τὸν βίον καταφρονοῦντες τερπνῶν τε καὶ λυπηρῶν, ὥστε ἀνέπαφον διαφυλάξαι τὸν πατρῶιον τοῦτον κλῆρον· τούτου χάριν καὶ Κύριλλον καὶ Μέμνονα, τὸν μὲν ὡς αἱρεσιάρχην, τὸν δὲ ὡς συνεργὸν γεγενημένον καὶ ἐν ἅπασιν αὐτῶι συμμαχήσαντα ὥστε βεβαιωθῆναι καὶ στηριχθῆναι τὰ ἐπὶ διαφθορᾶι τῶν ἐκκλησιῶν ἐκτεθέντα κεφάλαια, καθαιρέσει ὑποβεβλήκαμεν καὶ τοὺς ὑπογράψαι καὶ συνθέσθαι τοῖς ἐναντίοις τῆς εὐσεβείας δόγμασι τετολμηκότας ἀκοινωνήτους πεποιήκαμεν, ἕως ἂν ἐκεῖνα μὲν ἀναθεματίσωσιν, εἰς δὲ τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων ἐπανέλθωσιν. ἀλλ' οὐδὲν αὐτοὺς ὤνησεν ἡ ἡμετέρα μακροθυμία. μέχρι γὰρ τῆς σήμερον ἡμέρας τῶν διεφθαρμένων ἐκείνων ὑπερμάχονται δογμάτων. περιέπειραν [can. Antioch. 4] δὲ ἑαυτοὺς καὶ τῶι τοῦ κανόνος ὅρωι, ὃς σαφῶς διαγορεύει, εἴ τις καθαιρεθεὶς ἐπίσκοπος ὑπὸ συνόδου ἢ πρεσβύτερος ἢ διάκονος ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἑαυτῶι ἐπιτρέψειε τὴν λειτουργίαν καὶ μὴ ἀναμείνειε συνόδου κρίσιν, μηκέτι χώραν αὐτὸν ἔχειν ἀπολογίας μηδὲ ἐφ' ἑτέρας συνόδου, ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτῶι παντελῶς ἐξωθεῖσθαι τῆς ἐκκλησίας. τούτωι τῶι ὅρωι περιπεπτώκασιν οἵ τε καθαιρεθέντες οἵ τε ἀκοινώνητοι γεγενημένοι. εὐθὺς γὰρ μετὰ τὸ γνῶναι τὴν γενομένην καθαίρεσιν καὶ ἀκοινωνησίαν καὶ συνε- [Mt. 18, 18] λειτούργησαν καὶ διατελοῦσι λειτουργοῦντες, ὡς ἀπιστοῦντες δηλονότι τῶι εἰπόντι ὃ δὴ [L III 740] ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς. ταῦτα ἐβουλευσάμεθα μὲν εὐθὺς τῆι σῆι ἁγιωσύνηι γνωρίσαι, προσδοκήσαντες δὲ ἔσεσθαί τινα τῶν λυπηρῶν μεταβολὴν μέχρι τοῦ παρόντος ἀνεμείναμεν. ἀλλ' ἐψεύσθημεν τῆς ἐλπίδος· ἔμειναν γὰρ τῆς δυσσεβοῦς ταύτης αἱρέσεως ὑπερμαχοῦντες καὶ μηδὲ τοῦ εὐσεβεστάτου βασιλέως

---

V, P [= hk], S, D [= mn], A

1 εἰσαχθείσασ PSD 2 διδασκαλία VPA ἐκκλησία SD τῶν πατέρων SD διαδεχόμενοι SD μέχρισ ἂν A 3 ἄλλον τὸν D 4 τὸν[2] om. D Σερδικῆς scripsi ἐριδικῆσ VPSDA 5 γραφέντων SD γραμμάτων PA σταλέντων γραμμάτων V 6 εὐσεβέστατον P πίστει om. PS 7 συνελθόντων SD βραχέσι PSDA ἀραγέσι V 8 ἡ om. SD 10 πραγμάτων S 11 τῶν ἁγίων SD om P 12 ἀλεξανδρείασ V 13 τῆς] τοῖσ P ἀπολλιναρίου S 14 μὴ om VPA, in mg. add. V 15 λύμηι] τόλμη V 17 ὁσιότησ SD 20 διαφυλαχθῆναι V 22 διαφορᾶ VkSD, corr. VS 23 ὑπογράψαι δὲ καὶ D 24 ὡσ VPS, corr k in mg. 25/26 συνεληλυθότων SD 26 αὐτοῖσ P ὑμετέρα S 28 αὐτοὺσ P 29 ἐπιτρέψει V ἐπιγράψειε A 30 ἀναμείνη D ἀναμείνει S ἀναμείνοιεν P 34 δὴ om. D 36 εὐθὺς] ἡμεῖσ P 38 γὰρ] δὲ P

τὰς συμβουλὰς αἰδούμενοι. πεντάκις γὰρ ἤδη καὶ ἡμῖν καὶ αὐτοῖς συντετυχηκὼς προσέ-
ταξεν αὐτοῖς ἢ ὡς ἐναντία τῆι πίστει ἐκβάλλειν τὰ Κυρίλλου κεφάλαια ἢ τὸν ὑπὲρ τούτων
ἀναδέξασθαι ἀγῶνα καὶ δεῖξαι ὡς συμβαίνει τῆι τῶν μακαρίων πατέρων ὁμολογίαι. ἑτοί-
μους γὰρ εἴχομεν ἡμεῖς τοὺς ἐλέγχους δι' ὧν ἀπεδείξαμεν ἂν ὡς ἄντικρυς μὲν μάχεται τοῖς
τῆς ὀρθοδοξίας διδασκάλοις, συμφέρεται δὲ λίαν τῆι τῶν αἱρετικῶν διδασκαλίαι. διδάσκει
γὰρ διὰ τούτων αὐτῶν ὁ τὰ πονηρὰ ταῦτα κτίσας γεννήματα ὡς ἡ θεότης τοῦ μονογενοῦς
υἱοῦ τοῦ θεοῦ ἔπαθεν καὶ οὐχ ἡ ἀνθρωπότης, ἣν ὑπὲρ τῆς ἡμετέρας ἀνείληφε σωτηρίας,
τῆς ἐνοικούσης δηλονότι θεότητος οἰκειουμένης μὲν τὰ πάθη ὡς ἰδίου σώματος, οὐδὲν δὲ
πασχούσης εἰς τὴν ἰδίαν φύσιν· πρὸς δὲ τούτοις ὅτι μία φύσις γέγονε θεότητος καὶ
ἀνθρωπότητος. οὕτω γὰρ τὸ ὁ λόγος σὰρξ ἐγένετο ἡρμήνευσεν ὡς τῆς θεότητος Ioh. 1, 14
τροπήν τινα ὑπομεινάσης καὶ εἰς σάρκα μεταβληθείσης. πρὸς τούτοις ἀναθεματίζει M IIII 1416
τοὺς διαιροῦντας τὰς εὐαγγελικὰς καὶ ἀποστολικὰς περὶ τοῦ δεσπότου Χριστοῦ φωνὰς καὶ
τὰς μὲν ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα, τὰς δὲ θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ
ἐκλαμβάνοντας, ὅπερ φρονοῦντες Ἀρειανοὶ καὶ Εὐνομιανοὶ καὶ τὰς μὲν ταπεινὰς περὶ τῆς
οἰκονομίας φωνὰς εἰς τὴν θεότητα ἀναφέροντες καὶ κτίσμα καὶ ποίημα τὸν θεὸν λόγον καὶ
ἑτεροούσιον καὶ ἀνόμοιον τῶι πατρὶ λέγειν ἐπραγματεύσαντο. ἐντεῦθεν δὲ εἴ τι κἂν συμ-
βαίνει βλάσφημον, ῥάιδιον κατιδεῖν. σύγχυσις γὰρ εἰσάγεται τῶν φύσεων καὶ προσάπ-
τεται τῶι θεῶι λόγωι τὸ θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; καὶ τὸ πάτερ, Mt. 27, 46
εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ καὶ τὸ πεινῆν καὶ διψῆν Mt. 26, 39
καὶ ὑπὸ ἀγγέλου στηρίζεσθαι καὶ τὸ λέγειν νῦν ἡ ψυχή μου τετάρακται καὶ περί- Ioh. 12, 27
λυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου καὶ ὅσα τοιαῦτα περὶ τὴν ἀνθρωπότητα τοῦ Mt. 26, 38
κυρίου συμβέβηκε. ταῦτα δὲ ὡς σαφῶς τῆι Ἀρείου καὶ Εὐνομίου δυσσεβείαι συμβαίνει,
εὐχερῶς ἄν τις κατίδοι. ἐκεῖνοι γὰρ τὸ ἑτεροούσιον κατασκευάσαι μὴ δυνάμενοι τὰ
παθήματα καὶ τὰς εὐτελεῖς φωνὰς τῆι θεότητι τοῦ Χριστοῦ περιάπτουσιν, ὡς προείρη-
ται. ἴστω δέ σου ἡ θεοσέβεια ὡς οἱ τῶν Ἀρειανῶν διδάσκαλοι νῦν οὐδὲν ἕτερον ἐν
ταῖς ἐκκλησίαις αὐτῶν διδάσκουσιν ἢ ὡς οἱ τὸ ὁμοούσιον διδάσκοντες νῦν τὰ Ἀρείου φρο-
νοῦσι καὶ ὅτι διὰ χρόνου μακροῦ τὸ ἀληθὲς ἀνεφάνη. ἡμεῖς δὲ τοῖς τῶν μακαρίων πα-
τέρων τῶν ἐν Νικαίαι συνεληλυθότων καὶ τῶν μετ' ἐκείνους ἐν τῆι διδασκαλίαι διαπρεψάν-
των, Εὐσταθίου τοῦ Ἀντιοχείας, Βασιλείου τοῦ Καισαρείας καὶ Γρηγορίου καὶ Ἰωάννου καὶ
Ἀθανασίου καὶ Θεοφίλου καὶ Δαμάσου τῆς Ῥώμης καὶ Ἀμβροσίου τοῦ Μεδιολάνων καὶ
τῶν ταὐτὰ τούτοις διδαξάντων ἐμμένομεν δόγμασι καὶ τοῖς εὐσεβέσιν αὐτῶν ἀκολουθοῦμεν
ἴχνεσι. τοῖς γὰρ εὐαγγελικοῖς καὶ ἀποστολικοῖς καὶ προφητικοῖς ἑπόμενοι ῥήμασιν ἀκριβῆ
τῆς ὀρθοδοξίας ἡμῖν κανόνα κατέλιπον, ὃν ἀκλινῆ καὶ ἀσάλευτον φυλάξαι σπουδάζομεν L III 741
ἅπαντες οἱ τὴν Ἀνατολὴν οἰκοῦντες, ὡσαύτως δὲ καὶ Βιθυνοὶ καὶ Παφλαγόνες καὶ ἡ δευ-
τέρα Καππαδοκία καὶ Πισιδία καὶ Δακία καὶ Μυσία καὶ Θετταλία καὶ Εὐρώπη καὶ Ῥοδόπη
καὶ ἄλλοι πλεῖστοι ἀπὸ διαφόρων ἐπαρχιῶν. δῆλοι δέ εἰσι καὶ Ἰταλιῶται τῆς καινοτο-
μίας ταύτης οὐκ ἀνεξόμενοι. ὁ γὰρ θεοφιλέστατος καὶ ἁγιώτατος Μαρτῖνος ὁ τῆς Μεδιο-
λάνων ἐπίσκοπος καὶ γράμματα πρὸς ἡμᾶς ἀπέστειλεν καὶ τῶι εὐσεβεστάτωι βασιλεῖ βιβλίον

V, P [= hk], S, D [= mn], A

1 καὶ[2] om. D 2 ἐκβαλεῖν SD τούτου P 3/4 ἑτοίμωσ VSD 7 οὐχὶ ἡ S εἰλήφει S εἴληφε D 9/10 θεότησ καὶ ἀνθρωπότησ Pn 10 τὸ A om. VPSD 12 τοὺς διαιροῦντας om. S τοῦ δεσπότου om. SD 14 οἱ ἀρειανοὶ καὶ οἱ SD 15 φέροντεσ SD 16 ἑτερούσιον S 16/17 συμβαίνει scripsi συμβαί superscripta ν A συμβαίνη VS σημαίνη P συμβαίη D 17 βλάσφημον SD τὸ βλάσφημον VPA σύγχησισ P 18 λόγωι om. S 23 γὰρ om. V 24 εὐτελεῖς] εὐαγγελικάσ P 25 ἀρεινῶν P, corr. k 27 μακροῦ χρόνου SD δὲ VPA καὶ SD 29 εὐστάθιοσ S 30 τῆς] τοῦ A ἀμβροσίου τῆσ μεδιολάνου S 32 ῥήμασιν VPA δόγμασιν SD 33 κατέλιπον κανόνα V 34 ἀνατολικὴν SD οἱ βιθυνοὶ V παφλαγῶνεσ V 35 πισσιδία VPSD δα spatium καὶ θετταλία V καὶ Εὐρώπη om. V εὐρόπη P 36/37 καινοτομίας] οἰκονομίασ P 37 καὶ ἁγιώτατος om. V 37/38 μεδιολάνου V 38 γράμμα A

ἐξέπεμψε τοῦ μακαρίου Ἀμβροσίου περὶ τῆς τοῦ κυρίου ἐνανθρωπήσεως, ὅπερ τὰ ἐναντία τοῖς αἱρετικοῖς τούτοις διδάσκει κεφαλαίοις. γινωσκέτω δέ σου ἡ ἁγιότης ὡς οὐκ ἤρκεσε Κυρίλλωι καὶ Μέμνονι τὸ τῆι ὀρθοδόξωι πίστει λυμήνασθαι, ἀλλὰ καὶ πάντας τοὺς κανόνας ἐπάτησαν. τοὺς γὰρ ὑπὸ διαφόρων διοικήσεων καὶ ἐπαρχιῶν γενομένους ἀκοινωνήτους εὐθὺς εἰς κοινωνίαν ἐδέξαντο, πρὸς τούτοις δὲ καὶ ἑτέρους ἐπὶ αἱρέσεσιν ἐγκαλουμένους καὶ τὰ αὐτὰ φρονοῦντας Κελεστίωι καὶ Πελαγίωι (Εὐχῖται γάρ εἰσιν εἴτ' οὖν Ἐνθουσιασταί, δι' ὃ καὶ ἀκοινώνητοι ἦσαν τῶι τε διοικητῆι καὶ τῶι μητροπολίτηι) τῆς ἐκκλησιαστικῆς εὐταξίας καταφρονήσαντες εἰς κοινωνίαν ἐδέξαντο αὐτούς, τὸ πλῆθος ἑαυτοῖς πανταχόθεν ἀθροίζοντες καὶ τυραννικῶς μᾶλλον ἢ εὐσεβῶς δογματίζειν σπουδάζοντες. ἐπειδὴ γὰρ τῆς
M IIII 1417 εὐσεβείας ἐγεγύμνωντο, ἀναγκαίως ἑτέραν ἑαυτοῖς ἐπενόησαν δύναμιν ἀνθρωποειδῆ χρημάτων ῥεύμασιν οἰόμενοι τὴν τῶν πατέρων καταγωνίζεσθαι πίστιν. ἀλλὰ τούτων οὐδὲν αὐτοὺς ὀνήσει, τῆς ὑμετέρας ἐρρωμένης ὁσιότητος καὶ συνήθως τῆς εὐσεβείας ὑπερασπιζούσης. παρακλήθητι τοίνυν, δέσποτα ἁγιώτατε, τὴν μὲν κοινωνίαν τῶν ταῦτα τετολμηκότων καὶ τὴν αἵρεσιν ταύτην εἰσαγαγόντων φυλάξασθαι, γνωρίσαι δὲ πᾶσι, καὶ τοῖς ἐγγὺς
cf. Theodoret. HE 5, 10 καὶ τοῖς μακράν, ὡς ταῦτά ἐστι τὰ κεφάλαια ἐφ' οἷς ὁ τρισμακάριος Δάμασος καθεῖλεν Ἀπολινάριον καὶ Βιτάλιον καὶ Τιμόθεον τοὺς αἱρετικούς, καὶ ὅτι οὐ χρὴ τῆι ἐκπεμφθείσηι
ep. 4 ἐπιστολῆι παρ' αὐτοῦ ἁπλῶς προσέχειν, ἐν ἧι τὸ μὲν αἱρετικὸν συνεσκίασε φρόνημα, τῶι δὲ τῆς εὐσεβείας αὐτὴν κατέχρωσε δόγματι. ἐν μὲν γὰρ τοῖς κεφαλαίοις σφόδρα αὐτοῦ τὴν ἀσέβειαν ἐγύμνωσεν, ἔνθα καὶ ἀναθεματίσαι τοὺς μὴ οὕτως φρονοῦντας ἐτόλμησεν· ἐν δὲ τῆι ἐπιστολῆι κλέψαι πανούργως τοὺς ἁπλουστέρους ἐπεχείρησεν. μὴ τοίνυν καταφρονήσηι τῆς ὑποθέσεως ἡ σὴ ὁσιότης, ἵνα μὴ ὕστερον ὁρῶσα τὴν αἵρεσιν κρατυνθεῖσαν ἀνονήτως ἀλγύνηται καὶ ἀσχάλληι, ἐπαμῦναι μηκέτι δυναμένη τῆι εὐσεβείαι.

ep. 96 Ἀπεστείλαμεν δὲ καὶ τὸ ἴσον τοῦ τόμου οὗ ἐπιδεδώκαμεν τῶι εὐσεβεστάτωι καὶ φιλοχρίστωι ἡμῶν βασιλεῖ, ἔχον τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι, ἐν ὧι ἐξεβάλομεν τὰ πρόσφατον ἐπεισαχθέντα ὑπὸ Κυρίλλου αἱρετικὰ κεφάλαια, ἀλλότρια κρίναντες αὐτὰ τῆς ὀρθοδόξου πίστεως. ἐπειδὴ δὲ μόνοι ὀκτὼ παρεγενόμεθα εἰς τὴν Κωνσταν-
ep. 96 τινούπολιν, οὕτω τοῦ εὐσεβεστάτου προστάξαντος βασιλέως, ὑπετάξαμεν καὶ τὸ ἴσον τοῦ ἐντολικοῦ τοῦ παρὰ τῆς ἁγίας συνόδου δοθέντος ἡμῖν, διὰ τὴν γνῶσιν τῶν ἐγκειμένων αὐτῶι ἐπαρχιῶν, ἃς ἔστιν ἀπὸ τῶν ὑπογραφῶν τῶν μητροπολιτῶν γνῶναι τὴν σὴν ὁσιότητα.

Πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα προσαγορεύομεν.

## 98 = S 45. Latina uersio extat in Collectione CT 47

Ἴσον ἐπιστολῆς γραφείσης τῆι ἐν Ἐφέσωι ἁγίαι συνόδωι παρὰ τῶν εὑρεθέντων ἐν Κων-
c. 13 m. Aug. a 431 σταντινουπόλει ἐπισκόπων Μεσορὴ κ̄ ινδ ιε̄ ἀποδοθείσης

L III 772 M IIII 1450 Τοῖς παναγίοις καὶ θεοφιλεστάτοις ἀρχιεπισκόποις καὶ πατράσι τοῖς συναχθεῖσι κατὰ θεοῦ χάριν ἐν τῆι Ἐφεσίων μητροπόλει Κελεστίνωι Κυρίλλωι Ἰουβεναλίωι Φίρμωι Φλαυιανῶι

---

V, P [= hk], S, D [= mn], A

4 ἀπὸ P 5 αἱρέσεσιν VA αἱρέσεισ PSD 6 εὐχηταὶ S εὐχῆται D ἤτουν VD ἤγουν P 8 αὐτοὺς malim deesse 9 καὶ τυραννικῶς — σπουδάζοντες om. S 10 ἑτέραν om. D ἀνθρωποειδῆ scripsi ἀνθρώπων τείχη VSA ἀνθρώπων τείχει D ἀνθρώπων τύχη καὶ P 12 τῆσ — ὁσιότητοσ V τῆς — ὁσιότητοσ ἐρρωμένησ P τῆς ὁσιότητοσ τῆσ ὑμετέρασ ἐρρωμένησ A τῆσ ὑμετέρασ ὁρωμένησ θεοφιλείασ [θεοφιλείασ om. S] SD 14 καὶ τὴν — εἰσαγαγόντων om. VPA 15 εἰσὶ P 16 ἀπολλινάριον S 17 παρ' αὐτοῦ] παρὰ τοῦ S ἐσκίασε P συνεσκίασαν D 18 κατέχρωσαν D 20 βλέψαι S βλάψαι D 20/21 καταφρονησάτω SD 21 καθορῶσαν καὶ κρατυνθεῖσαν V 22 ἀνοήτωσ S ἀσχάλη P 26/27 κατανούπολιν D 27 ὑπεγράψαμεν D 29 γραφῶν P

V, P [= hk], S, D [= mn], ΛtΛc

ϙη̄ V πθ P με̄ SD 33 Μεσορὴ — ἀποδοθείσης om. P μεσορὶ V *datae* Λ ἀποδοθῆναι SD om. V 34 παναγίοισ VP ἁγιωτάτοισ SD ἀρχιεπισκόποισ VPΛ ἐπισκόποισ SD καὶ om. D 35/p. 43, 1 φλαυιανῶ μέμνονι φίρμω SD

Μέμνονι Ἐρενιανῶι Θεοδότωι Ἀκακίωι καὶ πάσηι τῆι καθ' ὑμᾶς ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι παρὰ τῶν εὑρεθέντων ἐν Κωνσταντινουπόλει ἐπισκόπων ἐν κυρίωι χαίρειν. Ἔδει μὲν ἡμᾶς μὴ ταῖς ψυχαῖς μόνον, ἀλλὰ καὶ τοῖς σώμασι συνόντας τῆι ὑμετέραι ἁγιότητι καὶ τὴν ἐκ τῶν πειρασμῶν θλῖψιν μερίζεσθαι καὶ μεθ' ὑμῶν στεφανοῦσθαι τοῖς ἄθλοις· ἐπειδὴ δὲ ὁ πρὸς (L III 773) τὴν ἁγίαν σύνοδον πόλεμος καὶ μέχρις ἡμῶν ἐξετείνετο (ἄπλους μὲν ἡ θάλασσα, ἄβατος δὲ ἡ γῆ τοῖς αὐτόθεν ἀφικομένοις διὰ τοὺς ταῖς ὁδοῖς ἐφεδρεύοντας), οὐκ ἔχοντες ὅ τι ποιήσομεν, δάκρυσι καὶ λιταῖς τὰ παρ' ἑαυτῶν συνεισηνέγκαμεν, φθάσαι δὲ πρὸς τὴν ὑμετέραν ἁγιότητα μὴ δυνάμενοι τὰς προθυμίας ὑμῖν ὡς χεῖρας ἐχρήσαμεν, τοὺς μὲν καθηιρημένους συγκαθαιροῦντες καὶ τοὺς ὁσίους τοῦ Χριστοῦ συνεγείροντες. ἐγενόμεθα δὲ οὐδὲ τοῖς ἐνταῦθα ἄχρηστοι, ῥωννύντες μὲν τὸν λαὸν καὶ τῶν πλείστων τὸν ζῆλον ἐξάπτοντες, ὑπηρετοῦντες δὲ καὶ τοῖς ἱερεῦσιν ὅσα ἐκείνοις ἐδόκει. ἀλλ' ἐπειδὴ μικρὰ ταῦτα καὶ ὅσα ἀπόντες δύνανται, ἐθαρσήσαμεν καὶ τήνδε ἐκπέμψαι τὴν ἐπιστολήν, τοὺς ὑπὲρ τῆς εὐσεβείας ἱδρῶτας ὑμῶν μακαρίζοντες καὶ ἰδίαι ἑκάστωι τῶν ἁγίων πατέρων καὶ κοινῆι πᾶσι τὰ τῶν προφητῶν καὶ πατέρων ἐπιφθεγγόμενοι ὅτι ὡς πατέρες ἅγιοι καὶ κλήσεως τῆς (Hebr. 3, 1) ἐπουρανίου ἄξιοι, ἐλογίσθητε ὡς πρόβατα σφαγῆς, ὅλην τὴν ἡμέραν ὑπὲρ Χριστοῦ θανατούμενοι (Ps. 43, 23) ὑστερούμενοι κακουχούμενοι θλιβόμενοι ὑμεῖς ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. ἀλλὰ (Hebr. 11, 37 38) δότε καὶ ἡμῖν τῶν πρακτέων συμβουλὴν δι' ἐπιστολῆς, ἵν' εἰ μὲν δεῖ καταλαβεῖν τὴν ἁγίαν σύνοδον καὶ τὰ ὑπόλοιπα τῶν ἀγώνων συνδιενεγκεῖν, τοῦτο ποιήσωμεν (πρόθυμον γὰρ τὸ καθ' ἡμᾶς)· εἰ δὲ μένειν ἐνταῦθα κελεύετε, ἐπειδήπερ διὰ τὸν προσκυνητὸν θεὸν χρηστὰ καὶ τὰ παρὰ τοῦ θεοφιλεστάτου καὶ εὐσεβεστάτου βασιλέως ἡμῖν ἀγγέλλεται, τοῦτο φανερὸν καταστήσατε, ἵνα μὴ ἐπὶ πολὺ ὦμεν ὑπὸ τῆς ἄγαν φροντίδος ἐκδαπανώμενοι.

99 = S 113 A 148

Τοῖς εὐλαβεστάτοις καὶ θεοφιλεστάτοις συλλειτουργοῖς Εὐλαλίωι Ἐντρεχίωι Ἀκακίωι Χρυσαφίωι Ἱερεμίαι Θεοδούλωι Ἡσαίαι ἡ ἁγία σύνοδος ἡ κατὰ θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων συγκροτηθεῖσα ἐν τῆι Ἐφεσίων μητροπόλει ἐν κυρίωι χαίρειν. Τοὺς οὕτω διακειμένους, ὡς ἐδήλωσεν ἡμῖν καὶ τὰ γράμματα, οὐδὲν ἀπεικὸς καὶ τῆι ψυχῆι καὶ τοῖς σώμασι συναθλεῖν καὶ οὓς διηντλήσαμεν ἐνταῦθα (M IIII 1452) πόνους, κοινοὺς ἡγεῖσθαι. καὶ γὰρ ἐν τοῖς ἀγῶσιν οὐκ ὀλίγα τοῖς ἀγωνιζομένοις οἱ σπουδαῖοι παρέχονται τῶν θεατῶν, καὶ τῶν παλαισμάτων ὑποβάλλοντες τὴν πεῖραν καὶ πρὸς τὴν νίκην ἐγείροντες καὶ παρεγγυῶντες ἃ δεῖ τοὺς ὑπὲρ δόξης ἀγωνιζομένους ποιεῖν· τῆι δὲ θεοσεβείαι ὑμῶν πλεῖον τῆς τέχνης ταύτης ἐπινενόηται, τὸ εὐχαῖς ἡμᾶς δυναμοῦν καὶ ἐξιλεοῦσθαι ὑπὲρ ἡμῶν τὸν θεόν, ὡς ἂν μὴ πειρασθείημεν παρ' ὃ δυνάμεθα φέρειν, ἢ

---

V, P [= **hk**], S, D [= mn], ΛtΛc

1 ἐρρενιανῶ VP ἡμᾶσ kSD καὶ οἰκουμενικῆι om. Λ 2 *in amica Christo Constantinopoli* Λc ἁγιωτάτων ἐπισκόπων SD post ἐπισκόπων add. *Eulalio Chalcedonae, Entrechio Chii, Acacio Ararathiae, Achilliade Elaeae, Seuero Codrulae, Isaiu Panemotichiton, Chrysaphio Apri, Theodulo Basilinupoleos, Ieremia Iberos partium Persidis* Λc 5 ἄπλουσ PSD καὶ ἄπλουσ VΛ δὲ καὶ D 6 αὐτόθι D ἀφικνουμένοισ S 7 συνηνέγκαμεν SD 8 ὡσ χεῖρασ ὑμῖν SD 9 συγκαθαίροντεσ P οὐ S 10 πλειόνων D 11 καὶ om. SD ἐδόκει ἐκείνοισ VP 12 ἀπαντεσ P τήνδε — ἐπιστολήν VSD τὴν ἐπιστολὴν PΛt *epistulam scribere* Λc 13 ὑμῶν om. VPΛ ἁγίων om. P 14 τῶν — πατέρων SD τῶν ἁγίων προφητῶν καὶ τῶν πατέρων VP *prophetarum et sanctorum* [*sanctorumque* Λt] *patrum* [*apostolorum* Λc] Λtc ὡς] ὧ S 14/15 τῆσ ἐπουρανίου κλήσεωσ VP 16 ὑστερούμενοι θλιβόμενοι κακοχούμενοι S κακουχούμενοι ὑστερούμενοι θλιβόμενοι D 17 ἵνα VP 18 ποιήσομεν P 20 ἡμῶν SD ἀγγέλλεται VP *promittuntur* Λ ἀγγέλματα SD

V, P [= hk], S, D [= mn], A

inscr. ἀντίγραφον τῆσ προτεταγμένησ ἐπιστολῆσ παρὰ τῆσ ἁγίασ συνόδου P ϛθ V ϛ P ρη' D 23 εὐσεβεστάτοισ SD καὶ συλλειτουργοῖσ VP εὐτρεχίω SD 24 καὶ ἡσαία P χάριν θῦ V 28 καὶ κοινοὺσ S 29 παρέχονται PSDA συναίρονται V 30 τῆσ δόξησ V

πειρασθέντες κρείττους τῶν πειραζόντων γενοίμεθα. κεκοινωνήκατε δὲ ἡμῖν τῆι φροντίδι τῶν πόνων. εἰώθασι γὰρ πλεῖον ὑπὸ τῆς μερίμνης πάσχειν οἱ πόρρωθεν μανθάνοντες
L III 776 τὰ γινόμενα ἢ οἱ τοῖς ἀγῶσιν ἐμβεβηκότες αὐτοῖς. ἱκανὸν δὲ ἡμῖν εἰς παραμυθίαν τὸ μὴ ἀγνοηθῆναι τὰς τῶν ἐναντίων καθ' ἡμῶν ἐπιτεχνήσεις, ἀλλὰ καὶ ἄχρις ὑμῶν ἐλθεῖν τὰ κατὰ τῆς ἁγίας συνόδου τολμώμενα. ἴσμεν γὰρ ὅτι διὰ τῆς ὑμετέρας θεοφιλείας καὶ εἰς τὰς τῶν εὐσεβεστάτων βασιλέων ἀκοὰς ἕκαστα παρελεύσεται καὶ λύσις ἔσται τῶν δυσχερῶν, δηλωσάντων ὑμῶν τήν τε Ἰωάννου τοῦ τῆς Ἀντιοχέων ἀπόνοιαν καὶ τῶν μετ' αὐτοῦ καὶ ὅσα αὐτοῖς ἀθέσμως παρὰ τοὺς κανόνας κατὰ τῶν θεοφιλεστάτων καὶ ἁγιωτάτων ἐπισκόπων Κυρίλλου καὶ Μέμνονος καὶ τῆς ἁγίας συνόδου τετόλμηται. λογιζόμεθα γὰρ μηδὲν τούτων σαφῶς ἐγνωκέναι τὸν θεοφιλῆ καὶ εὐσεβέστατον βασιλέα· οὐ γὰρ ἂν οὕτως ἴσχυσαν οἱ τὸν καθ' ἡμῶν ἐγείροντες πόλεμον, ὥστε μηδὲ οἴκτου ἡμᾶς ἠξιῶσθαι ἀδικουμένους, ἀλλ' ὡς ἀδικοῦντας ἐν ἐγκλήμασιν εἶναι, καὶ ταῦτα πρὸς τὸ πάσχειν ἑαυτοὺς ἐκδεδωκότας, πρὸς ἄμυναν δὲ οὐδεμίαν τῶν ἀδικούντων ἐγειρομένους. τὰ δὲ κωλύσαντα τὴν ὁσιότητα ὑμῶν πρὸς ἡμᾶς ἀφικέσθαι ἡμᾶς ἔχει τὴν πρόφασιν. πολιορκία γὰρ ἡμᾶς ἀκριβὴς νῦν συνέχει ἐκ γῆς τε καὶ θαλάττης, ὥστε μηδὲ γνωρίζειν τῆι ὑμῶν ὁσιότητι δύνασθαι τὰ γινόμενα. τῶν δὲ δακρύων καὶ τῆς προσευχῆς ὑμῶν ἔργον ἐγένετο τὸ ἕκαστον ἡμῶν τῶν * * μήπω πρὸς τὸ τέλος συνελθόντων τὴν αὐτὴν ἔχειν ἐπὶ τῶι πράγματι κρίσιν καὶ ἀσυμβάτως πρὸς αὐτοὺς διακεῖσθαι, πολλῆς ἀνάγκης εἰς τοῦτο τῶν ἀρχόντων ἡμᾶς συνελαυνούσης. καὶ ἐν τούτωι δὲ τῆς εὐνοίας ὑμῶν τὸ μέρος ἔχομεν, κοινωνοὺς ὑμᾶς καὶ τῶν ἀγώνων καὶ τῶν ἄθλων εἰδότες, καὶ ὃ ἐπὶ τῶν τοὺς ἁγίους μάρτυρας ἀγαπώντων ἴσμεν γινόμενον, τοῦτο ἔστι καὶ ἐπὶ τῆς ὑμετέρας θεοφιλείας ἰδεῖν. ἔξω γὰρ τῶν ἀγώνων ὄντες τέως ἀπονητὶ τῶν στεφάνων κατηξιώθητε, εὐνοίαι μὲν τοῖς ἀδικουμένοις προσκείμενοι, τῶν δὲ ἐπαναστάντων καταδικάζοντες, ὡς μηδὲν ὑμᾶς δοκεῖν τῆι ἀπολείψει ἔλαττον ἔχειν, εἰς πάντα ὑμῶν ταῖς ἡμετέραις συμφερομένων γνώμαις. οὐ μικρὸν δὲ εἰς ἀφορμὴν νίκης τοῖς μαχομένοις, ἀλλὰ καὶ μέγιστον εἰς παράκλησιν ὃ καὶ ὑμᾶς ἐμάθομεν πεποιηκέναι, τοῦ λαοῦ τὸν ζῆλον αὔξάνοντας καὶ θαρρεῖν κατὰ τῶν ὑπεναντίων ἐγείροντας. λείπεται δὲ κατὰ χώραν μένοντας τά τε αὐτόθι γνωρίζειν ἡμῖν καὶ τὰ παρ' ἡμῶν εἰς γνῶσιν τῶν θειοτάτων βασιλέων καὶ τῆς ἁγίας ἐκκλησίας ἄγειν. τοῦτο γάρ ἐστι μᾶλλον εἰς ἐπικουρίαν αὔταρκες ἢ εἰ καταλαβόντες ἡμᾶς συνταλαιπωρεῖν ἡμῖν πολιορκουμένοις ἀνάσχοισθε. λογιζό-
M IIII 1453 μενοι δὲ μὴ ἐληλυθέναι εἰς γνῶσιν ὑμετέραν τὰ πρώην ἀποσταλέντα, καὶ αὖθις τῆι θεοσε-
ep. 102 βείαι ὑμῶν τῶν αὐτῶν ἀντίτυπα διεπεμψάμεθα, ἀνηνέγκαμεν δὲ πάλιν καὶ τοῖς εὐσεβεστάτοις βασιλεῦσι, καὶ γενέσθω τῆι θεοσεβείαι ὑμῶν ἐπιμελὲς μαθεῖν, ἵν' εἰ μὲν ἀποδέδονται, ὑπομνησθῶσι περὶ τῶν ἀνηνεγμένων, εἰ δὲ μὴ τοῦτο γεγένηται, ἵνα νῦν γοῦν μάθηι αὐτῶν ἡ εὐσέβεια ἃ πρότερον ἐπιβουλεύοντες ἡμῖν τινες ἀγνοῆσαι τὴν αὐτῶν θεοφίλειαν ἐσπούδασαν.

Ἐρρῶσθαι ὑμᾶς ἐν κυρίωι εὐχόμεθα, ἀγαπητοὶ καὶ ποθεινότατοι ἀδελφοί.

---

V, P [= hk], S, D [= mn], A

1 γενώμεθα VPA  κεκοινωνήκαμεν A  2 πλέον SD  3 γενόμενα P  ἐμβεβληκότεσ ἑαυτοὺσ SD  5 γὰρ VPA οὖν SD  θεοφιλίασ V  7 ἡμῶν V  τῆσ ἀντιοχέων PSDA ἀντιοχείασ V  8 ἁγίων P  11 μεθ' S  ἠξιῶσθαι PA ἀξιοῦσθαι SD ἀξιῶσαι V  12 ἐκδεδωκότα S  13 ἄμειναν D  ἀδικουμένων SD  14 ἀκριβὴσ ἡμᾶσ VPA  νῦν om. P  15 δύνασθαι τῆ ὑμῶν ὁσιότητι SD  15/16 γεγενημένα SD  16 ἔργον καὶ τῆσ – ὑμῶν V καὶ om. D  lacunam statui e. g. supplendo ἐπαναστάντων τῆι συνόδωι  19 ἡμῶν D  ἀγώνων] ἁγίων S  20 ἄθλων] πόνων D  ἀγαπόντων P  21 θεοφιλίασ VS  22/23 ἀπονητὶ — ἔχειν εἰς om. D  τοὺσ δὲ ἐπαναστάντασ V τῶν δὲ ἐπαναστάντων τὰ στίφη P  23 εἰς] ὡσ A  24 ἡμῶν Vn  ὑμετέραισ S  26 αὐξάνοντα S  ἐναντίων SD  27 τε PA δὲ S om. VD  αὐτόθεν P  29 καταλαβόντασ ὑμᾶσ P  πολιορκουμένουσ ἀνέχεσθαι P  31 πάλαι VA  33 γένηται SDA  νῦν om. D  34 ὑμῖν S  35 εὔχομαι SD

**100** = S 68 A 51. Latina uersio extat in Collectione CT 42

Ἴσον ἐπιστολῆς Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας γραφείσης πρὸς τὸν κλῆρον Κωνσταντινουπόλεως

Ἐταράχθη λίαν ἡ ἁγία σύνοδος ἀκούσασα ὅτι οὐ πάντα ὀρθῶς ἀνήνεγκεν ὁ μεγαλοπρεπέ- L III 760
στατος καὶ ἐνδοξότατος κόμης Ἰωάννης, ὥστε βουλεύεσθαι τοὺς ἐκεῖσε καὶ περὶ ἐξορίας καθ' ἡμῶν M IIII 1436 PG 77, 141
ὡς τῆς ἁγίας συνόδου καταδεξαμένης τὴν ἀκανόνιστον καὶ ἄθεσμον γενομένην καθαίρεσιν παρά
τε Ἰωάννου καὶ τῶν σὺν αὐτῶι αἱρετικῶν. ἰδοὺ τοίνυν καὶ ἑτέρα γέγονεν ἀναφορὰ παρὰ τῆς ep. 102
ἁγίας συνόδου διδάσκουσα ὅτι καὶ λυπεῖται ἐπὶ τῶι δεσποτικῶι γράμματι, καὶ ὅτι οὐ κατεδεξάμεθα ep. 93
τῶν τριῶν τὰς καθαιρέσεις, καὶ ἐξαιρέτως ἀκυροῦσθαι μὲν τὰ παρ' ἐκείνων δυσσεβῶς τε καὶ
ἀθέσμως γενόμενα, κρατύνεσθαι δὲ μᾶλλον τὰ παρ' ἡμῶν. ἐδίδαξαν γὰρ καὶ διὰ πρώ- ep. 94
της ἀναφορᾶς ὅτι ἄκυρα μὲν τὰ παρ' ἐκείνων ἀκανονίστως γενόμενα πεποιήκασι, κοινωνι-
κοὺς δὲ ἡμᾶς καὶ συνεπισκόπους ἔχουσι καὶ ὅτι τῆς τοιαύτης οὐκ ἐξίστανται γνώμης.
μυρία δὲ πεποιηκότος τοῦ μνημονευθέντος μεγαλοπρεπεστάτου ἀνδρὸς ὥστε ἐλθεῖν εἰς κοι-
νωνίαν Ἰωάννην καὶ τοὺς σὺν αὐτῶι τῆι ἁγίαι συνόδωι, μέχρι σήμερον οὐδὲ ἀκοῦσαι ἠνέ-
σχοντο τοιαύτης φωνῆς, ἀλλ' ἐνίστανται μὲν πάντες λέγοντες ὅτι ἀδύνατον ἡμᾶς εἰς τοῦτο PG 144
ἐλθεῖν, ἐὰν μὴ καὶ τὸ παρ' αὐτῶν ἀκανονίστως γενόμενον λυθῆι καὶ προσπέσωσι τῆι συν-
όδωι ὡς πλημμελήσαντες, ἀναθεματίσωσι δὲ Νεστόριον καὶ τὰ δόγματα αὐτοῦ ἐγγράφως,
καὶ ἐν τούτοις ἡ πᾶσα ἔνστασις τῆς συνόδου. ἀποτυχὼν δὲ τούτου ὁ μνημονευθεὶς με-
γαλοπρεπέστατος ἀνὴρ ἐπενόησε καὶ τοῦτο καὶ ἀπήτει τὴν σύνοδον ἔκθεσιν πίστεως ἐγγράφως M IIII 1437
ἐπιδοῦναι αὐτῶι, ἵνα κἀκείνους ποιήσηι συνθέσθαι καὶ ὑπογράψαι καὶ ἀνέλθηι λέγων ὅτι
συνῆψα αὐτοὺς εἰς φιλίαν ἀνθρωπίνας λύπας ἔχοντας μεταξὺ ἀλλήλων. τοῦτο νοήσασα
ἡ ἁγία σύνοδος πάλιν ἐνέστη ἄχρι παντὸς λέγουσα ὅτι οὐχ ὑβρίζομεν ἑαυτούς· οὐ γὰρ ὡς αἱρε- L III 761
τικοὶ κεκλήμεθα, ἀλλ' ἤλθομεν πίστιν ἀθετουμένην στῆσαι, ἣν καὶ ἐστήσαμεν, καὶ οὐ χρήιζει
ὁ βασιλεὺς τοῦ μαθεῖν νῦν τὴν πίστιν, εἰδὼς αὐτὴν καὶ ἐν αὐτῆι βαπτισθείς. οὐ προέβη
τοίνυν οὐδὲ τοῦτο τοῖς ἀπὸ τῆς Ἀνατολῆς. κἀκεῖνο δὲ γινώσκετε ὅτι συνθέντες ἔκθεσιν ep. A 48
πίστεως ἐφιλονείκησαν πρὸς ἀλλήλους καὶ εἰσὶν ἐν τῶι φιλονεικεῖν ἔτι. οἳ μὲν γὰρ αὐ- cf. uol. IIII ep. 182
τῶν καταδέχονται θεοτόκον εἰπεῖν τὴν ἁγίαν παρθένον μετὰ καὶ τοῦ ἀνθρωποτόκον, οἳ δὲ
παντελῶς ἀρνοῦνται καί φασιν ἑτοίμως ἔχειν ἀποτμηθῆναι τῶν χειρῶν ἢ ὑπογράψαι τοιαύ-
τηι φωνῆι. ἀσχημονοῦσι δὲ πανταχοῦ αἱρετικοὶ δεικνύμενοι. ταῦτα πάντες παρὰ τῆς
θεοσεβείας ὑμῶν διδασκέσθωσαν καὶ μάλιστα οἱ θεοσεβέστατοι καὶ ἁγιώτατοι ἀρχιμανδρῖται,
μήποτε ὑποστρέψας ὁ προρρηθεὶς ἕτερα ἀνθ' ἑτέρων εἴπηι ἢ διδάξηι, τέρπων τάς τινων
ἀκοάς. μὴ ἀποκνήσηι δὲ ὑμῶν ἡ θεοσέβεια μηδὲ ἀποκαμνέτω πρὸς τοὺς ὑπὲρ ἡμῶν
ἱδρῶτας, εἰδυῖα ὅτι ἑαυτὴν παρατίθεται καὶ θεῶι καὶ ἀνθρώποις. καὶ ἐνταῦθα γὰρ διὰ
τὴν τοῦ σωτῆρος χάριν οἱ μηδέποτε ἡμᾶς εἰδότες τῶν θεοσεβεστάτων ἐπισκόπων ἑτοίμως
ἔχουσι τὴν ψυχὴν θεῖναι ὑπὲρ ἡμῶν καὶ μετὰ δακρύων προσέρχονται λέγοντες καὶ συνεξο-
ρισθῆναι καὶ συναποθανεῖν δι' εὐχῆς ἔχειν. ἐν πολλῆι δὲ θλίψει πάντες ἐσμὲν καὶ διὰ

---

V, P [= hk], S, D [= mn], AWΛtΛc

β̄ V ϛā P ξη̄ S 2 ἐπισκόπου VP γραφείσης om. P κλῆρον VPA κλῆρον καὶ τὸν λαὸν SDAW 5 καὶ ἐνδοξότατος om. VP βουλεύσασθαι SD βούλεσθαι W 8 ἁγίας VPΛc om. SDAWΛt οὐκ ἐδεξάμεθα SDAW 9 μὲν ἀκυροῦσθαι VP τε om. VP 10 γὰρ om. P 14 τῆσ σήμερον V 14/15 ἠνέσχετο SW 15 τῆσ τοιαύτησ SDAW πάντεσ VPA παντελῶσ SDAW 17 ὡς om. P δὲ καὶ VP 18 μνημονευθεὶς om. W 19 ὑπαιτεῖ P 20 ποιήσῃ SDAWΛ ποιήσωσι VP 22 ἀνέστη DΛ 23 ἀλλὰ VP 24 νῦν om. S ταύτῃ D 25 τοῦτο τοίνυν οὐδὲ SDW 27 τοῦ καὶ S ἀνθρωποτόκον] ἄρθην D 28/29 τῇ τοιαύτῃ S 29 ἀσχημονοῦσι δὲ] ἀσχημονούσῃ P 31 τάς om. P 31/32 ἀκοάσ τινῶν SW 32 ἀποκαμέτω P 34 θεοφιλεστάτων S 35 θεῖναι τὴν ψυχὴν A τὰσ ψυχὰσ W 36 δι' εὐχῆσ VPA ἑτοίμωσ SDAW ἔχειν Λ ἔχουσιν VPSAW ἔχουσι μεθ' ἡμῶν D

τὸ φρουρεῖσθαι παρὰ στρατιωτῶν καὶ πρὸ τῶν κοιτώνων ἔχειν αὐτοὺς καθεύδοντας, μάλιστα δὲ ἡμεῖς. ἡ δὲ ἄλλη πᾶσα σύνοδος ἀπέκαμεν καὶ κάμνει καὶ οἱ πλείους ἀπέθανον, λοιπὸν δὲ καὶ οἱ λοιποὶ τὰ ἑαυτῶν πιπράσκουσιν, οὐκ ἔχοντες ἀναλώματα.

**101** = S 69 A 52. Latina uersio extat in Collectione CT 43

Ἴσον ἐπιστολῆς γραφείσης παρὰ Μέμνονος ἐπισκόπου Ἐφέσου πρὸς τὸν κλῆρον Κωνσταντινουπόλεως

Οἷα διὰ τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας καθ' ἑκάστην ὑπομένομεν ἐν Ἐφέσωι, οὐδὲ λόγωι παραστῆσαι δυνατόν· ταραχὴ γὰρ ταραχὴν ἀπαύστως διαδέχεται. πολλὴν δὲ ἡμῖν εὐτονίαν παρέχει τοῦ ταῦτα φέρειν γενναίως ἡ τῆς πίστεως ὁμολογία καὶ ἰσχύς. ποτὲ μὲν γὰρ ὁ μεγαλοπρεπέστατος κόμης Κανδιδιανὸς ἐπισείων ἡμῖν τοὺς στρατιώτας καὶ τὴν πόλιν ταραχῆς ἐμπιπλῶν καὶ πάντων ὁμοῦ τῶν ἐπιτηδείων τῆς εἰσκομιδῆς ἀποστερῶν διὰ τῆς παραφυλακῆς, πολλοὺς δὲ συγχωρῶν ὕβρεις καταχέειν ἡμῶν τε καὶ πάσης τῆς ἁγίας συνόδου τῶν τοῦ Ζευξίππου παραμενόντων τῶι καθῃρημένωι Νεστορίωι καὶ ἐπὶ τούτωι τρεφομένων καὶ πολὺ πλῆθος χωρικῶν ἀπὸ τῶν ἐκκλησιαστικῶν κτημάτων καὶ δι' ἐκείνων τὰς ὕβρεις καταχεόντων, διεδέξατο καὶ τὴν προειρημένην ἀταξίαν καὶ τοῦ μεγαλοπρεπεστάτου
M IIII 1440 κόμητος Εἰρηναίου τὴν καθημερινὴν ἀπάτην τῶν ἀφελεστέρων καὶ ἡ τοῦ Ἀντιοχέως ἐπισκόπου παρουσία. μαθοῦσα γὰρ ἡ ἁγία σύνοδος τὴν μέλλουσαν αὐτοῦ ἐπιδημίαν γενήσεσθαι, τιμῶσα καὶ τὸ κεχρεωστημένον τῆι ἱερωσύνηι πληροῦσα ἀπέστειλε τινὰς τῶν θεοφιλεστάτων ἐπισκόπων μετὰ καὶ εὐλαβεστάτων κληρικῶν εἰς ὑπάντησιν αὐτοῦ, δύο ταῦτα ποιοῦσα, καὶ τὴν κεχρεωστημένην πληροῦσα τιμὴν καὶ ποιοῦσα φανερὸν ὡς ὀφείλει τὴν πρὸς Νεστόριον συντυχίαν φυλάξασθαι διὰ τὸ παρὰ τῆς ἁγίας συνόδου καθῃρῆσθαι αὐτὸν
L III 764 τῆς ἀσεβείας ἕνεκα ἧς ἐμελέτησεν. οὐ συγχωρηθέντες δὲ παρὰ τῶν ἑπομένων αὐτῶι στρατιωτῶν κατὰ τὴν ὁδὸν αὐτῶι περιτυχεῖν, οὐδὲν ἧττον ἠκολούθησαν καὶ τὴν οἰκίαν ἔνθα κατέλυσε, κατειλήφασι καὶ πολλὰς προσκαρτερήσαντες ὥρας καὶ μὴ συγχωρηθέντες τὴν πρὸς αὐτὸν ποιήσασθαι συντυχίαν ἔμειναν ὕβρεις ὑπομένοντες. μετὰ δὲ πολλὰς ὥρας τοῦτο δόξαν αὐτῶι, μετεστείλατο τοὺς θεοσεβεστάτους ἐπισκόπους καὶ τοὺς εὐλαβεστάτους κληρικούς, εἰσάγων αὐτοὺς διὰ στρατιωτῶν. ὡς δὲ τὰ παρὰ τῆς ἁγίας συνόδου φανερὰ πεποιήκασιν αὐτῶι, συνεχώρησε τὸν μεγαλοπρεπέστατον Εἰρηναῖον καὶ τοὺς σὺν αὐτῶι ἐπισκόπους τε καὶ κληρικοὺς ἀφορήτους ἐπιθεῖναι πληγὰς τοῖς ἡμετέροις συλλειτουργοῖς καὶ τοῖς κληρικοῖς, ὡς καὶ κινδύνοις αὐτοὺς προσομιλῆσαι. τούτων τοίνυν γεγενημένων, παραγενόμενοι εἰς τὴν ἁγίαν σύνοδον οἱ ἀποσταλέντες θεοσεβέστατοι ἐπίσκοποι καὶ τὰς πληγὰς ἐπιδείξαντες καὶ τὰ γεγενημένα διηγησάμενοι ἐπὶ πράξεως ὑπομνημάτων τοῦ ἁγίου εὐαγγελίου προκειμένου, εἰς ἀγανάκτησιν διανέστησαν τὴν ἁγίαν σύνοδον καὶ μικρὸν αὐτὸν σωφρονίζοντες ἀκοινώνητον πεποιήκασι καὶ γεγένηται αὐτῶι ἡ ἀκοινωνησία φανερά. ἔγνωμεν

---

V, P [= hk], S, D [= mn], $AW\Lambda^{t}\Lambda^{c}$

1 τοῦ V   καὶ om. S   τῶν ἰδίων D   κοιτωνίων PSD   2 δὲ om. V   σύνοδοσ πᾶσα W   3 δὲ om. S   λοιποὶ VPΛ πολλοὶ SDAW

V, P [= hk], S, D [= mn], $A\Lambda^{t}\Lambda^{c}$

$\overline{\rho\alpha}$ V $\overline{\varsigma\beta}$ P $\overline{\xi\theta}$ SD   7 ἀληθῆ — ἑκάστην VPΛ   τοῦ θῦ πίστιν τὴν ἀληθῆ τὲ καὶ ὀρθόδοξον SDA   8 διαδέχεται ἀπαύστωσ SD   ἄπαυστοσ A   8/9 εὐτονίαν ἡμῖν SDA   12 φυλακῆσ P   12/13 τῆσ — συνόδου πάσησ VP   13 τοῦ om V   13—15 oratio inconcinna   14 χορηγῶν P   16 ἀντιοχείασ PD   17/18 γεγενῆσθαι A   18 τῆσ ἱερωσύνησ D   τινασ εἰσ ἀπάντησιν S   19 κληρικῶν] ἐπισκόπων D   ἀπάντησιν P ὑπόμνησιν SD   αὐτῶι SD   20 κεχρεωστουμένην VP   22 εὐσεβείασ S   ἐμελέτησεν VPSΛ ὡμολόγησεν DA   συγχωρηθέντα S   23 ἠκολούθει S   24 προσκαρτερήσαντασ S   27 εἰσαγαγὼν SDA   28/29 ἐπισκόπους — κληρικούς om P   ἐπισκόποισ τε καὶ συλλειτουργοῖσ P   33/34 σωφρονίσαντεσ D σωφρονήσαντεσ A   34 ἀκοινώνητον SDAΛ ἀκοινώνητον αὐτὸν VP   αὐτῶν Λ

γὰρ ὡς ἀνώνυμόν τι καὶ ἀνυπόγραφον κατά τι μέρος τῆς πόλεως προετέθη, δηλοῦν αὐτοῦ τὴν ἀταξίαν καὶ ἀκανόνιστον γνώμην, καθ' ἑκάστην δὲ προσκαλούμενος τὸ σεμνὸν βουλευτήριον καὶ τοὺς λαμπροτάτους καὶ ἐξαιτῶν μετὰ ἀνάγκης ψηφίσματα ὥστε εἰς τὸν τόπον τὸν ἐμὸν χειροτονῆσαι, ὡς πάντας τοὺς κατοικοῦντας τὴν πόλιν ὀρθοδόξους τυγχάνοντας τοὺς εὐκτηρίους κατειληφέναι τόπους καὶ ἐν αὐτοῖς οἰκεῖν, ἵνα μὴ ἡ ἐκείνου προπέτεια καὶ ἀκανόνιστος θρασύτης ἡ διὰ τῶν προθεμάτων εἰς ἔργον ἀχθῆι τῆς φήμης. ὅθεν καὶ ἐν τῶι ἁγίωι ἀποστόλωι Ἰωάννηι ἀνελθὼν καὶ τοῦτο ὑπεμφήνας ὡς ὀφείλειν αὐτὸν ἐκεῖ χειροτονῆσαι, στάσιν καὶ ταραχὴν τῶι τόπωι ἐνεποίησε καὶ μετὰ πλήθους ἀτάκτων ὡπλισμένων ἀνελθών, ὡς καὶ τινὰς τῶν ἐκεῖσε πτωχῶν ἡμιθανεῖς ποιῆσαι, ὡς καὶ ὑβρισθεὶς παρὰ ep. 159
τῶν ἐκεῖσε, ἀνήνεγκεν ἐπὶ φθόνωι τῆς ἁγίας συνόδου. καταξιώσατε τοίνυν, ὁσιώτατοι, πᾶσαν σπουδὴν θέσθαι καὶ τὴν ἀπόνοιαν καὶ ἀκανόνιστον γνώμην Ἰωάννου καὶ τῶν σὺν αὐτῶι δημοσιεῦσαι πρὸς τὸ καὶ τοὺς μεγαλοπρεπεστάτους κόμητας ἐντεῦθεν ἀναχωρῆσαι τοὺς καθ' ἡμέραν ταράττοντας καὶ τὴν πόλιν καὶ τὴν πίστιν, ἵνα μὴ ἐκ συναρπαγῆς τούτων νοθεύηται τὰ τῆς πίστεως.

**102** = S 70 A 49. Latina uersio extat in Collectione CT 44

Τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι νικηταῖς τροπαι- M IIII 1441
ούχοις ἀεὶ αὐγούστοις ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ χάριτι θεοῦ καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῆι Ἐφεσίων μητροπόλει. Τὸ μὲν ὑμέτερον κράτος οὐ περιεῖδε τὴν ἀληθῆ πίστιν ὑπορυττομένην ὑπὸ τῆς Νεστορίου διδασκαλίας μετὰ Ἰουδαίων ὀνειδίζοντος τῶι δεσπότηι Χριστῶι ἃ δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ὑπέμεινεν ἀνθρώπινα πάθη, ἀλλὰ βδελυξαμένη ἡ ὑμῶν εὐσέβεια τοὺς τοιούτους κατὰ Χριστοῦ λόγους L III 765
ἐκ πάσης σχεδὸν τῆς ὑφ' ἥλιον ἡμᾶς συναχθῆναι προσέταξεν ἐν τῆι Ἐφεσίων μητροπόλει, πατῆναι τὰ τῶν πατέρων καὶ τῶν ἀποστόλων τῆς εὐσεβείας βουλομένη δόγματα. ὅθεν συνελθόντες καὶ κοινῆι κρίσει βεβαιώσαντες τὴν ἐκτεθεῖσαν περὶ τούτου πίστιν παρὰ τῶν τιη τῶν ἐν Νικαίαι συναχθέντων ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Κωνσταντίνου Νεστόριόν τε καινοτομοῦντα ταύτην τὴν πίστιν κατειληφότες τέχναις λόγων καὶ ἐπεισάκτοις σοφίσμασι παραβλάπτοντα τῆς εὐσεβείας τὸ φρόνημα τοῦ ἱερατικοῦ βαθμοῦ καθείλομεν, καθάπερ τινὰ λοιμὸν τὸν λόγον αὐτοῦ τὰς ἐκκλησίας ἐπινεμόμενον εἶρξαι βουλόμενοι. ἀλλ' ἐπειδή τινὰς εὕρομεν καὶ τῶν ἐπισκόπων ἤδη σαλευθέντας καὶ τὰ αὐτοῦ φρονοῦντας καὶ τῆι ἐκείνου βλασφημίαι συναπαχθέντας, ἅπαντας τοὺς τὰ αὐτοῦ φρονοῦντας ἀκοινωνήτους πεποιήκαμεν,

---

V, P [= hk], S, D [= mn], ΑΛtΛc

1 τινα P 2 καὶ τὴν SDA 2/3 καθ' ἑκάστην — ψηφίσματα om. VP 5 τόπουσ VPΛ οἴκουσ SDA 6 θρασύτησ VPDA σαθρότησ PΛ 7 ἀποστόλω SDAΛ εὐαγγελιστῆ VP καὶ om. V ὑποφήνασ P ὑποφῆναι V ὡς om. P 8 στάσεισ καὶ ταραχάσ SD ἐποίησε V 8/9 ὁπλισμένων P 9 ἐκεῖ P ὡσ καὶ VP δσ k in mg. καὶ ὡσ SDAΛ 10 ὁσιότατοι P 12 τῶ DA 13 καὶ[1] SDAΛ om. VP 13/14 τούτων νοθεύηται ΑΛ νοθεύηται τούτων SD τούτων νοθεύωνται VP

V, P [= hk], S, D [= mn], AJΛtΛc

inscr. om. Λ ἴσον ἀναφορᾶσ σταλείσησ παρὰ τῆσ ἁγίασ συνόδου πρόσ τὸν εὐσεβέστατον βασιλέα θεοδόσιον SDAJ περὶ τῆσ ὑπογραφῆσ τῶν βασιλέων ἀναφορά VP ρβ V ϛγ P ō SD 16 εὐλαβεστάτοισ V φιλοχρίστοισ SDAJΛ φιλοχρίστοισ βασιλεῦσι V φιλοχρίστοισ ἡμῶν βασιλεῦσι P καὶ[2] om. V 17 χ̅υ̅ AJΛ 19 ὑποκρυπτομένην J ὑπὸ τῆσ — διδασκαλίασ SDAJ *doctrina* Λ ταῖσ — διδασκαλίαισ VP 20 τῶ χ̅ω̅ καὶ δεσπότη S διὰ om. V 21 ὑμῶν ἡ S τοῦ τοιούτου τοὺσ D 22 ἡλίω AJ 23 τῶν ἀποστόλων om. Λ τῶν[2] om. S τῆς εὐσεβείας om. S 24 χρίσει m χρήσει n 25 τ̅ι̅η̅ S τ̅ι̅η̅ δεκαοκτὼ V τριακοσίων δέκα καὶ ὀκτὼ AJΛ τριακοσίων δεκαοκτὼ PD συναχθέντων VPΛ συνελθόντων SDAJ τε om. S 27 τοῦ om. P 28 ταῖσ ἐκκλησίαισ SDAJ σπουδάζοντεσ SD 29 ηὕρομεν S εὑρίσκομεν VP 30 συνυπαχθέντασ V αὐτοῦ SAΛ αὐτὰ VPDJ

μέχρις ἂν ἀποστάντες τῆς διεφθαρμένης ἐκείνου διδασκαλίας ἐπιγνῶσι τὴν καθολικὴν καὶ ἀποστολικὴν πίστιν, ἧι ἄνωθεν ἐπερειδόμενοι ἅπαντες σωιζόμεθα. ἀλλ' ἡμεῖς μὲν ἐπὶ διορθώσει τῶν ὑπαχθέντων νῦν ἐν τῆι πλάνηι ὡρίσαμεν ταῦτα, τὴν αὐτῶν ἐκδεχόμενοι μεταμέλειαν· αὐτοὶ δέ, τριάκοντα ὄντες τὸν ἀριθμὸν μικρῶι πρός (ἦσαν γάρ τινες ἐν αὐτοῖς καὶ ἐξ ἑτέρων αἰτιῶν τοῖς κανόσιν ὑπεύθυνοι καὶ προσειληφότες τὸν εὐλαβέστατον ἐπίσκοπον τῆς Ἀντιοχέων Ἰωάννην, ὃς καὶ αὐτὸς ὑπὲρ πολλῆς βραδυτῆτος ὑπεύθυνος ἦν αἰτιάσει, ἄλλοι δὲ ἐφ' ἑτέραις αἱρέσεσιν ἐλεγχόμενοι, τινὲς δὲ αὐτῶν καὶ ἤδη καθῃρημένοι), πρὸς μετάνοιαν μὲν οὐκ εἶδον, συναχθέντες δὲ ἐπὶ προστασίαι Νεστορίου κατὰ τῶν ἐξάρχων τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου καθαίρεσιν γράψαι τετολμήκασι καὶ ὡς ἐκ πάσης
ep. 153 τῆς συνόδου γεγενημένην ἀνήγαγον ἐπὶ τὴν ὑμῶν εὐσέβειαν, ἣν δεξάμενον τὸ ὑμέτερον
ep. 93 κράτος ἐκέλευσε μένειν, νομίσαν ἐκ τῆς συνόδου ταύτην γεγενῆσθαι καὶ οὐχὶ κατὰ τῆς συνόδου παρὰ τῶν τὰ Νεστορίου φρονούντων καὶ ἀμυνομένων ἡμᾶς ἐπὶ τῆι καθαιρέσει Νεστορίου, οὐκ ἔγκλημα λέγειν δυναμένων κατὰ τῶν ἐξάρχων τῆς ἁγίας ἡμῶν συνόδου, καὶ ἐτόλμησαν ἀπατῆσαι τὰς θεοφιλεῖς ὑμῶν ἀκοάς, ὡς δεχθῆναι καὶ τὴν παρ' αὐτῶν γενομένην κατὰ τῆς συνόδου καθαίρεσιν, ἣν οὐδὲ ἐνθέσμως οὐδὲ κανονικῶς οὐδὲ πολλοὶ πεποιή-
M IIII 1444 κασι, δι' ὃ καὶ ἡ ἁγία σύνοδος ἐνθέσμως καὶ κανονικῆι πράξει ἀνέτρεψε τὰ παρ' αὐτῶν ὑβριστικῶς καὶ οὐκ εὐλόγως κεκριμένα. ὅθεν καταφεύγομεν ἅπαντες ἐπὶ τὸ κράτος τῆς ὑμῶν εὐσεβείας, δεόμενοι τὰ μὲν κατὰ Νεστορίου πεπραγμένα καὶ τῶν τὰ Νεστορίου φρονούντων ἔχειν τὴν ἰδίαν ἰσχύν, τὰ δὲ παρὰ τῶν ἐκδικούντων Νεστόριον διὰ τὸ φρονεῖν τὰ ἐκείνου ἀθέσμως γεγενημένα κατὰ τῶν ἐξάρχων τῆς ἡμετέρας συνόδου μένειν ἄπρακτά τε καὶ ἀργά, ὡς μήτε ἀκολούθως ἢ κανονικῶς μήτε ἐπὶ πταίσματι ἐληλεγμένωι γεγενημένα, ἀλλὰ ἀμύνης ἕνεκα μόνης παρὰ τῶν φρονούντων τὰ Νεστορίου κατὰ τῆς ἁγίας συνόδου τετολμημένα. εἰ γὰρ εὔλογος ἡ κατὰ Νεστορίου τῆς οἰκουμενικῆς συνόδου ψῆφος γεγένηται καὶ ταύτην τὸ ὑμέτερον κράτος ἐδέξατο, ὡς Νεστορίου γυμνὴν κηρύξαντος τὴν ἀσέ-
I. III 768 βειαν, εὔλογον δήπου συνορᾶι καὶ τὸ ὑμέτερον κράτος τὰ πεπραγμένα κατὰ τῆς ἁγίας συνόδου παρὰ τῶν φρονούντων τὰ Νεστορίου ἄπρακτα παντελῶς μένειν καὶ ἄκυρα, ἐξ οὐδεμιᾶς αἰτίας τὸ εὔλογον ἔχοντα ἢ ἐκ μόνης ἀμύνης ὑπὲρ ὧν κατὰ Νεστορίου ἡ ἁγία καὶ μεγάλη σύνοδος ἔπραξε. δεόμεθα τοίνυν τοῦ ὑμετέρου κράτους ἀνεῖναι λοιπὸν ἡμᾶς ἀπὸ τῆς θλίψεως καὶ κελεῦσαι ἀποδοθῆναι ἡμῖν τοὺς ἐξάρχους τῆς ἁγίας συνόδου τοὺς θεοφιλεστάτους ἐπισκόπους Κύριλλον καὶ Μέμνονα· εὔλογον γὰρ ἐκδικηθείσης τῆς εὐσεβείας καὶ τῶν βλαπτόντων αὐτὴν πεπαυμένων τοὺς συναθλήσαντας ὑπὲρ τῆς πίστεως ἡμῖν τιμῆς ἀπολαύειν, οὐ συγκατακρίνεσθαι μετὰ τῶν ἐληλεγμένων ἐπὶ ταῖς ἀθέσμοις κατὰ τοῦ δεσπότου Χριστοῦ βλασφημίαις.

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων ὑπέγραψα ταῖς δεήσεσιν

Ὁμοίως καὶ πάντες οἱ ἐν τῆι στάσει τῶν ὑπομνημάτων ἐπίσκοποι.

---

V, P [= hk], S, D [= mn], AJΛ$^{t}$Λ$^{c}$

1 ἐκείνου διεφθαρμένησ SDAJ   1/2 καὶ ἀποστολικὴν om. VP   2 ἅπαντεσ ἐπερειδόμενοι SDAJ   μὲν om. P   3 ὑπαρχόντων Λ   δεχόμενοι P   4 τὸν ἀριθμὸν ὄντεσ VP   γὰρ] δέ J   καὶ ἐν P   5 καὶ[1] om. J   7 ἐφ' ἑτέραις] ἀμφοτέραισ J   8 προστασίαν SD   10 τῆς om. J   γενομένην SDAJ   ἡμέτερον V   13 ἡμῶν DA$^{corr}$ ὑμῶν VSAJ om. P *uniuersalisque* Λ   16 ἐνθέσμω VPD   καὶ om. S   ἀπέτρεψε D   ὑπ' αὐτῶν VP *ab his* Λ$^{c}$   18 κατὰ νεστορίου μὲν J   τῶν om. J   21 μήτε[1]] μηδὲ SDAJ   πταίσμασιν D   ἐληλεγμένων SD   22 περὶ J   τὰ κατὰ νεστορίου J   23 τετολμημένα VP γεγενημένα SDAJ *confecta* Λ   εὐλόγωσ SD   τῆσ οἰκουμενικῆσ [ἁγίασ V] συνόδου ψῆφοσ VAJ ψῆφοσ τῆσ οἰκουμενικῆσ συνόδου PS ψῆφοσ τῇ οἰκουμενικῇ συνόδῳ D   24 κηρύξαντα S   24/25 εὐσέβειαν S   25 ἁγίας om. Λ   26 περὶ J   29 ἀπὸ om. VP   ἁγίασ ταύτησ VP   29/30 τὸν θεοσεβέστατον ἐπίσκοπον J   θεοσεβεστάτουσ DA   30 κύριλλον καὶ μέμνονα VPΛ κύριλλον τὸν [τὸν om. S] τῆσ ἀλεξανδρέων καὶ μέμνονα τῆσ ἐφεσίων SDAJ   καὶ τῆσ VPSD   31 ἡμῶν DAJ   32 τιμῶν AJ   34. 35 om. P   35 om. VΛ$^{t}$ *Arcadius et Proiectus episcopi et uices agentes sedis apostolicae et Philippus presbyter suscripsimus precibus. et reliqui omnes similiter* Λ$^{c}$

**103** = S 72 A 53. et numerus et inscriptio et textus desunt in V. Latina uersio extat in Collectione CT 48

Δέησις καὶ ἱκεσία παρὰ τοῦ κλήρου Κωνσταντινουπόλεως ὑπὲρ τῆς ἐν Ἐφέσωι ἁγίας συνόδου L III 777

Εἰδότες τὴν ὑμετέραν εὐσέβειαν πολύν τινα λόγον ποιησαμένην τῶν τε ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν τῆς τε ἐν αὐταῖς κηρυσσομένης εὐσεβοῦς καὶ ἐκ πατέρων ἡμῖν παραδεδομένης πίστεως καὶ οἷα μὲν ὑμῖν ὑπὲρ αὐτῆς προπεπόνηται, ἡλίκα δὲ πάλιν διὰ τὴν ὑπὲρ αὐτῆς σπουδὴν ὑπῆρκται τῆι ὑμετέραι εὐσεβείαι, θαρροῦμεν διὰ τοῦτο ταῖς φιλοχρίστοις ὑμῶν ἀκοαῖς καὶ τὴν ἐν χερσὶν ἀναδιδάσκομεν τῶν ἐκκλησιῶν ταραχήν. ὁ γὰρ τοῦ ἐπαγγέλματος τοῦ ἡμετέρου σκοπός, εὐσεβέστατοι βασιλεῖς, πρὸς ταῖς ἄλλαις νομοθεσίαις καὶ τὸ δεῖν πειθαρχεῖν πάσαις ἀρχαῖς τε καὶ ἐξουσίαις παρεγγυᾶι (Tit. 3, 1), μέχρις ἂν ἡ πειθὼ δοκοίη λυσιτελὴς εἶναι ταῖς ψυχαῖς· ἐπειδὰν δὲ τὸν τοῦ συμφέροντος ὅρον ἐκφύγηι, τηνικαῦτα παρρησιάζεσθαι καὶ πρὸς τὴν ὑμετέραν κορυφὴν οἱ τῶν θείων νόμων ἐξηγηταὶ παρακελεύονται καὶ διαφερόντως γε, εἰ καὶ ἡ βασιλεία τῶι τῆς ὀρθοδοξίας ἐγκαλλωπίζεται πράγματι, ἐν μέρει κατορθωμάτων καὶ αὐτοί που λογιζόμενοι τοῦτο καὶ λίαν ἐπὶ τούτωι φιλοτιμούμενοι, ἕως ὅταν τὸ ἐλάλουν ἐναντίον βασιλέων καὶ οὐκ ἠισχυνόμην (Ps. 118, 46) συνεχῶς ἡμῖν ἐπάιδωσι καὶ διὰ τούτου προτρέπωσιν ἐν τοῖς ὁμοίοις τῆς παρρησίας καιροῖς μὴ ἀπολιμπάνεσθαι τῆς μιμήσεως. ταύτην τοίνυν καὶ ἡμεῖς τὴν παρρησίαν εἰς καιρὸν ἡμῖν παρεῖναι πεισθέντες, διὰ τῆσδε τῆς ἱκεσίας τὴν ἡμῶν αὐτῶν γνώμην δήλην τῆι ὑμετέραι εὐσεβείαι καθιστῶμεν ὡς εἰ τὸ ὑμέτερον κράτος τὴν γεγονυῖαν δῆθεν καθαίρεσιν κατὰ τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων Κυρίλλου καὶ Μέμνονος παρὰ τῶν ἀποσχισάντων τῆς ἁγίας συνόδου, ὧν οἱ πλείους αἱρετικοὶ καὶ ἀπόλιδες καὶ ἀκοινώνητοι, ταύτην ἐγκρῖναι πεισθείη, τὴν αὐθεντίαν τῶν τῆς ψήφου ταύτης καθεστώτων κυρίων καὶ τὴν ἐξουσίαν παραιρουμένη, καὶ ψῆφον προσδέξαιτο ἄλογον οὖσαν καὶ ἀνίσχυρον κατὰ πάντα τρόπον καὶ μειρακιώδη τῶι μήτε εὐλάβειαν παρὰ τὴν ἀρχὴν παρά τινος γεγονέναι ἐπὶ τῆς ἁγίας συνόδου τῆς τῶν τοιούτων τὴν ἀκρόασιν καὶ τὸ κῦρος ἐχούσης μήτε μὴν ἔλεγχον ἐπί τινι τῶν ἀπηγορευμένων ἱερωσύνηι παρηκολουθηκέναι, πάντες ἡμεῖς ἕτοιμοι μετὰ τῆς πρεπούσης (M IIII 1456) Χριστιανοῖς προθυμίας συγκινδυνεῦσαι τοῖς προειρημένοις ὁσίοις ἀνδράσι καὶ πρὸς μηδεμίαν πεῖραν κινδύνων ἀποναρκῆσαι, ταύτην αὐτοῖς προσήκουσαν ἀμοιβὴν τῶν ὑπὲρ τῆς πίστεως κινδύνων συνεισφέρειν ἡγούμενοι. καὶ ταύτης τῆς προθέσεως ἕκαστος ἡμῶν ἐπειλημμένος τὴν ὑμετέραν ἐκδυσωποῦμεν θειότητα (καὶ ἐξαιτοῦμεν, ὡς πεπείσμεθα, δίκαιον) τὸ καὶ παρ' ὑμῶν βεβαιωθῆναι τὴν τῶν πλείονων ψῆφον τῶν καὶ τῆι κατὰ τοὺς θρόνους αὐθεντίαι καὶ τῆι κατὰ τὴν ἐξέτασιν τῆς ὀρθῆς πίστεως ἀκριβείαι σύμψηφα τῶι ἁγιωτάτωι ἀνδρὶ καταθεμένων καὶ ὡς ὀρθὰ φρονεῖ, πρὸς τὸ ὑμέτερον γνωρισάντων κράτος καὶ μὴ τῶι τῆς εἰρήνης προσχήματι καὶ τῶι μὴ δοκεῖν βραχύ τι μέρος τῆς Ἀνατολῆς ἀποσχοινισ-

---

P [= hk, 103. 104 post 105 collocantur], S, D [= mn], ΑΛtΛc

ϛϵ̄ P οβ' D 3 παρά P ὑπὸ SDA 3/4 ὑπέρ — συνόδου SDAΛ πρὸσ τὸν εὐσεβέστατον βασιλέα P 5 τε om. P 6 κηρυττομένησ P ὑμῖν Λ om. P 7 ὑμῖν PΛ ἡμῖν SDA 8 *praesumpsimus* Λc καὶ διά PS 12 λυσιτελέσ S 14 γε A τὲ P om. SD 15 που PAΛ om. SD 16 ὡσ A ἐνελάλουν S 17 ἐπάδουσι P τούτου PΛ τοῦτο S τούτων DA προτρέπονται P 19 ἱκετείασ SDA ὑμῶν PS 19/20 τῇ εὐσεβείᾳ καθιστῶμεν τῇ ὑμετέρᾳ P 22 ὧν] ὡσ S 23 τὴν αὐθεντίαν scripsi τῇ αὐθεντίᾳ PSDAΛ καθεστώτων om. P 24 παραιρουμένη PSDA *usi sunt* [= παραχρωμένων?] Λt *abolendam* [παραιρουμένην] Λc 25 μειρακιῶδεσ S γεγονέναι παρά τινοσ P ἐπὶ τῆσ PSA παρὰ τῆσ D *in quacumque* Λc 26 τῆς — ἐχούσης] *in talibus auditorii robur habente* Λt *per quam tales audientiae robur haberent* Λc καὶ PA om. SD 28 συγκινδυνεύειν SA συνκινδυνεύειν D ὁσίοισ PΛc ὁσιωτάτοισ SDAΛt 29 ναρκῆσαι S πίστεως] φύσεωσ S 30 καὶ om. D ταύτης] πάσησ P ὑμῶν S 32 ὑμῶν PAΛ ὑμῖν SD 34 γνωρισάντων κράτοσ A ἐγνώρισαν κράτοσ SD κράτοσ ἐγνώρισαν P 35/p. 50, 1 ἀποσχισθῆναι P

θῆναι, ὅπερ οὐδὲ αὐτὸ τῆς ἑνώσεως ἀπορραγῆναι προήιρηται, εἰ τὰ τῶν κανόνων πεισθείη L III 780 κρατεῖν, πᾶσαν ὁμοῦ τὴν οἰκουμένην συγχεομένην περιιδεῖν. εἰ γὰρ ὁ τῆς οἰκουμενικῆς συνόδου καθηγητής, ὧι σύμψηφοι πάντες δι' ὧν κατέθεντο, γεγόνασιν, ὑπομείνειέν τι τῶν οὐ προσηκόντων παρὰ τὴν τῶν κανόνων ἀκολουθίαν καὶ ταῦτα τῆς ὑμετέρας εὐσεβείας ἐπιεικῶς τὴν ἐπὶ τοῖς τοιούτοις ἀποδυσαμένης κοινωνίαν καὶ διὰ τοῦτο καὶ σύνοδον ἀθροισάσης, ἵνα μὴ τῆς ἐξουσίας αὐτὴν τῶν οἰκείων θεσμῶν ἀποστερήσηι, εὔδηλον ὡς διὰ τῆς οἰκείας βλάβης καὶ τὴν κατὰ τῶν ἄλλων ὁμοψήφων ἐπήρειαν βεβαιοῖ καὶ δεήσει πάντας τοὺς τῆς οἰκουμένης ἐπισκόπους συγκαθηιρῆσθαι τοῖς προειρημένοις ὁσίοις ἀνδράσι καὶ περιστήσεται λοιπόν, ὡς ἔοικεν, Ἀρείωι καὶ Εὐνομίωι ἡ τῆς ὀρθοδοξίας ὑπόληψις, ἅτε Νεστορίου μὲν εὐλόγως διὰ τὴν δυσσεβῆ διδασκαλίαν καθηιρημένου, Κυρίλλου δὲ καὶ Μέμνονος τῶν ἁγιωτάτων ἐπισκόπων ἀναξίως καὶ ἀθέσμως καὶ οὐ δεόντως τὴν ἴσην ὑπομενόντων ἐκ περιδρομῆς ζημίαν. μηδαμῶς τοίνυν, ὦ φιλόχριστοι βασιλεῖς, τὴν τιθηνησαμένην ὑμᾶς ἐκκλησίαν σπαραττομένην περιίδητε τὴν ἀκμητὶ τῶι ὑμετέρωι κράτει κατὰ τῶν ἀντιπάλων ἐγείρειν παρέχουσαν τρόπαια μηδὲ μαρτυρίου καιρὸν τοὺς τῆς βασιλείας ὑμῶν ἀναδείξητε χρόνους, ἀλλὰ τὴν τῶν προγόνων ὑμῶν περὶ τὴν ἐκκλησίαν στοργὴν ἀναλαβόντες κατὰ νοῦν καὶ ὅπως ἕκαστος ἐκείνων τῆι κατὰ τοὺς οἰκείους καιροὺς γενομένηι συνόδωι τῶν ἁγίων πατέρων ἐπειθάρχησε καὶ τῆι διὰ τὸ τοὺς ὅρους τοὺς παρ' αὐτῶν τεθέντας ὀχυρῶσαι νομοθεσίαι τὴν περὶ αὐτοὺς αἰδῶ διέδειξαν, οὕτω καὶ αὐτοὶ τὰ ἴσα περὶ τὴν νῦν παρ' ὑμῶν συγκροτηθεῖσαν ἁγίαν σύνοδον φρονῆσαι προθυμήθητε, ὡς ἂν τοὺς παρ' αὐτῆς χαριστηρίους ὕμνους ὑπὲρ τῆς βασιλείας ὑμῶν καθαρῶς καὶ εὐαγῶς καρπώσησθε καὶ ἡμεῖς τὰς ὑπὲρ τῆς διαμονῆς τοῦ ὑμετέρου κράτους εὐχὰς εἰλικρινεῖς ἀναπέμπωμεν τῶι δεσπότηι Χριστῶι, εὐσεβέστατοι καὶ φιλόχριστοι βασιλεῖς.

**104** = S 74 A 46. et numerus et inscriptio et textus desunt in V. Latina uersio extat in Collectione CT 49

L III 772 M IIII 1449 Ἴσον ἐπιστολῆς τοῦ ἀρχιεπισκόπου Κυρίλλου γραφείσης τοῖς ἐν Κωνσταντινουπόλει εὐλαβεστάτοις ἐπισκόποις Θεοπέμπτωι Ποτάμωνι καὶ Δανιήλωι ὑπὲρ ὧν πέπονθε συσκευῶν τῶν κατὰ Νεστόριον καὶ Ἰωάννην χάριν, ὅτε παρεγένετο ἐν Ἐφέσωι ὁ κόμης τῶν σακρῶν Ἰωάννης

Κύριλλος Θεοπέμπτωι Ποτάμωνι Δανιήλωι ἀγαπητοῖς καὶ συλλειτουργοῖς ἐν κυρίωι χαίρειν. Πολλαὶ καθ' ἡμῶν γεγόνασιν ἐκεῖσε διαβολαί, τοῦτο μὲν ὡς ἀπὸ τῆς Ἀλεξανδρείας ἀκολουθησάντων ἡμῖν ἐκ τοῦ βαλανείου πολλῶν, τοῦτο δὲ ὡς κανονικῶν ἐξελθουσῶν· ὡς δέ φασιν, [ὅτι] εἴρηται παρὰ τῶν διαβεβληκότων ὅτι κατὰ συσκευὴν ἐμὴν καὶ οὐ κατὰ σκοπὸν τῆς ἁγίας συνόδου τὴν καθαίρεσιν ὑπέμεινε Νεστόριος. ἀλλ' εὐλογητὸς ὁ σωτὴρ ὁ τοὺς τὰ τοιαῦτα λέγοντας ἐλέγξας· ἐλθὼν γὰρ εἰς τὴν Ἐφεσίων ὁ κυριός μου ὁ

---

P [= hk], S, D [= mn], AΛtΛc

1 ὅθεν D προείρηται PD 6 ταύτην A ἀποστερήσησ SD 8 ὁσίοισ PAΛc ὁσιωτάτοισ SDΛt 9 ὡσ ἔοικεν PAΛ om. SD καὶ PΛ ἢ SDA ἡ om. P 11 ὑπομένειν SD ὑπομένειν ἐκείνοισ P 12 τιθηνεύσασαν P 14 ἐγείρειν παρέχουσαν PΛc ἐγείρουσαν DAΛt παρέχουσα S 15 λαβόντεσ P 17 τὸ AΛc om. PSDΛt 18 διεδίδαξαν D ἔδειξαν P ὑμῶν PDΛt ἡμῶν SAΛc 20 καρπώσασθε D τὰς om. S 21 ἀναπέμψωμεν S

P [= hk], S, D [= mn], AWΛtΛc

25—27 om. PΛ ςξ̄ P 25 γραφείσησ παρὰ τοῦ ἀρχιεπισκόπου κυρίλλου SDW ἐν κωνσταντινουπόλει τοῖσ A 26 ποταμίωνι A καὶ ποτάμωνι SDW δανιὴλ A 26—28 ὑπὲρ ὧν — Δανιήλωι om. S 26 ἔπαθε DW 26/27 νεστορίου καὶ ἰῶ D χάριν AW χαρτίων D 27 ὅτε — Ἰωάννης om. DW 28 *Potamoni Daniheli* Λ ποταμίωνι δανιὴλ A ποτάμωνι καὶ δανιήλω DW ποτάμονι καὶ δανιὴλ P ἀγαπητοῖσ ἀδελφοῖσ P 29/30 ἀλεξανδρέων SD 30 ἐκ om. PAW 31 ὅτι PSDAW om. Λ καὶ κατὰ WΛ 33 σωτὴρ] θσ̄ P τὰ om. P ἐν τῆ A ἐφεσίων πόλιν P

μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος κόμης τῶν θείων λαργιτιόνων Ἰωάννης κατέγνω τῶν ταῦτα πεφλυαρηκότων, οὐδὲν εὑρὼν ἀληθές. εἶδε δὲ ὅτι ἰδίαν ἔνστασιν ἡ ἁγία σύνοδος ὑπὲρ τῆς πίστεως ἔχει καὶ οὔτε ἐμοὶ χαριζομένη οὔτε ἑτέρωι τινί, ἀλλὰ θείωι ζήλωι κινουμένη καὶ οὐκ ἐνεγκοῦσα τὰς ἐκείνου βλασφημίας κατεψηφίσατο αὐτοῦ. ἀναγνωσθέντος (ep. 93) δὲ τοῦ γράμματος τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων, δι' οὗ αἱ τῶν τριῶν καθαιρέσεις ἐλέγοντο εἶναι δεκταί, ἐφρουρούμεθα τέως, οὐδὲ εἰδότες τὸ ἐκβησόμενον. πλὴν εὐχαριστοῦμεν τῶι Χριστῶι, ὅταν καταξιωθῶμεν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ οὐ δεσμῶται γενέσθαι μόνον, ἀλλὰ γὰρ καὶ τὰ ἕτερα πάντα ὑπομεῖναι· οὐ γὰρ ἄμισθον τὸ πρᾶγμά ἐστιν. οὐκ ἠνέσχετο δὲ ἡ σύνοδος κοινωνῆσαι Ἰωάννηι, ἀλλ' ἐνίσταται λέγουσα· ἰδοὺ τὰ σώματα, ἰδοὺ αἱ ἐκκλησίαι, ἰδοὺ αἱ πόλεις· ἐξουσίαν ἔχετε. ἡμᾶς κοινωνῆσαι ἀδύνατον τοῖς Ἀνατολικοῖς, ἂν μὴ λυθῆι τὸ κατασκευασθὲν ἐκ τῆς αὐτῶν συκοφαντίας κατὰ τῶν συλλειτουργῶν ἡμῶν, ὁμολογήσωσι δὲ καὶ πίστιν τὴν ὀρθήν. καταγινώσκονται γὰρ τὰ Νεστορίου καὶ λαλοῦντες καὶ φρονοῦντες καὶ ὁμολογοῦντες. ἡ πᾶσα οὖν ἔνστασις ἐν τούτοις· εὐχέσθωσαν ὑπὲρ ἡμῶν πάντες οἱ ὀρθόδοξοι. ὡς γάρ φησιν ὁ μακάριος Δαυίδ, ἐγὼ εἰς μάστιγας ἕτοιμος. (Ps. 37, 18)

**105** = S 71 A 50. Latina uersio extat in Collectione CT 45

Ἡ ἁγία σύνοδος ἡ κατὰ θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων βασιλέων ἐν (L III 768) τῆι Ἐφεσίων μητροπόλει συγκροτηθεῖσα τοῖς ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἀδελφοῖς καὶ (M IIII 1444) συλλειτουργοῖς τοῖς κατὰ τὴν Κωνσταντινούπολιν διατρίβουσι καὶ τοῖς εὐλαβεστάτοις πρεσβυτέροις καὶ διακόνοις τῆς αὐτῆς Κωνσταντινουπόλεως. Τοῖς ἐν τοσαύτηι τρικυμίαι καθεστῶσι πραγμάτων καὶ πολὺν μὲν πανταχόθεν δεχομένοις τὸν πόλεμον, οὐδαμῶς δὲ συγχωρουμένοις οὔτε τὸ ἥμερον καὶ γαληνὸν τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων θεάσασθαι πρόσωπον, ὅθεν ἦν μόνον ἐλπίζειν τῶν δυσχερῶν τὴν λύσιν, ποίαν ἦν ἄλλην ἐπινοηθῆναι παραμυθίαν ἢ πρὸς τὰ ἴδια μέλη τὰ καθ' ἑαυτοὺς ἀποδύρασθαι; ὑμεῖς δὲ μέλη τῆς οἰκουμενικῆς συνόδου, τὸν ὑπὲρ τῆς εὐσεβείας ζῆλον διὰ πάντων ἐπιδειξάμενοι. τοιγαροῦν εἰδέτω ἡ ὑμετέρα εὐλάβεια φρουρᾶς οὐδὲν πλέον ἡμᾶς τὴν Ἐφεσίων οἰκεῖν καὶ τριμηνιαῖον χρόνον λοιπὸν ἐν ταύτηι κατακεκλεῖσθαι, μήτε διὰ θαλάσσης μήτε διὰ γῆς ἀκινδύνως καὶ ἀδεῶς ἐκπέμπειν τινὰς ἐπὶ τὸ εὐσεβὲς στρατόπεδον ἢ ἐφ' ἕτερον τόπον συγχωρουμένους. καὶ γὰρ ὁσάκις τὰ παρ' ἡμῶν διαπεμφθέντα ἀποδοθῆναι ἴσχυσε, διὰ μυρίων κινδύνων οἱ ταῦτα κομίζοντες ἄλλοτε ἄλλως μετασχηματιζόμενοι σωθῆναι δεδύνηνται. αἴτιον δὲ τοῦ οὕτως ἡμᾶς φρουρεῖσθαι τὸ πάντα καθ' ἡμῶν ψευδῶς τῶι εὐσεβεστάτωι βασιλεῖ (M IIII 1445) ἀναφέρεσθαι. οἳ μὲν γάρ, ὡς μανθάνομεν, ὡς στάσεις ἡμῶν ἐργαζομένων, οὕτως τὰς

---

V [inde a 16], P [= bk], S, D [= mn], A, W [usque ad 15], ΛtΛc

1 καὶ ἐνδοξότατος om. P  2 τὰ τοιαῦτα SDW  πεπλημμεληκότων S  δὲ om. SW  2/3 ἡ — τῆσ πίστεωσ PAΛ ἡ — σύνοδοσ τῆσ πίστεωσ DW τῆσ πίστεωσ ἡ — σύνοδοσ S  5 δὲ PAΛ δὲ καὶ SD  ἡμῶν βασιλέων A  6 λέγονται P  δεκτέαι SDW  7 εὐχαριστιῶμεν Λc  Χριστῶι] θω̅ D  ἀξιωθῶμεν SW  7/8 μόνον δεσμῶται γενέσθαι P  8 τὰ om. P  9 ἐνίσταται DWcorr Λ ἐνίστατο PSAW  11 ἐὰν P  καταλυθῆ W  τὸ κατασκευασθὲν PAΛ τὰ κατασκευασθέντα SDW  συκοφαντίασ αὐτῶν S  12 ὁμολογήσουσι SW  τὴν πίστιν τὴν ὀρθὴν SAW τὴν πίστιν ὀρθὴν D  γὰρ] δὲ P  13 νεστορίου φρονοῦντεσ καὶ λαλοῦντεσ P καὶ λαλοῦντες om. A  14 εὐχέσθωσαν SDWΛ εὐχέσθωσαν δὲ PA  15 ἐγὼ AΛ ἐγὼ δὲ PSDW

inscr. πρὸσ τὸν κλῆρον κωνσταντινουπόλεωσ συνοδικὴ ἐπιστολὴ [συνοδικὴ ἐπιστολὴ om. P] VP ἐπιστολὴ σταλεῖσα [γραφεῖσα S] παρὰ τῆσ ἁγίασ συνόδου τοῖσ ἐν κωνσταντινουπόλει ἐπισκόποισ πρεσβυτέροισ καὶ διακόνοισ SDA om. Λ  ρ̅ε̅ V ϛ̅δ̅ P οα' D  17 πόλει PA  ἀδελφοῖσ καὶ SDAΛ om. VP  18/19 πρεσβυτέροις] ἐπισκόποισ S  20 μὲν om. V  21 καὶ φιλοχρίστων om. S  22 ἐλπίζεσθαι A  24 διὰ πάντων om. V  25 εἰδέτω A ἰδέτω PS οἰδέτω D γινωσκέτω V  τὴν ἐφεσίων οἰκεῖν ἡμᾶσ P  26 ἐν ταύτη λοιπὸν ἡμᾶσ SDA  θαλάττησ SA  28 τὰ om. P  ἴσχυσεν ἀποδοθῆναι P  30 καθ' ἡμῶν SDAΛ τὰ καθ' ἡμᾶσ VP  εὐσεβεῖ S  31 ἐμάθομεν P μανθάνουσιν S

εὐσεβεῖς ἐδίδαξαν ἀκοάς· ἄλλοι δὲ ὡς τῆς οἰκουμενικῆς ἡμῶν συνόδου καθελούσης τὸν τὰ πάντα θεοφιλέστατον καὶ ἁγιώτατον ἀρχιεπίσκοπον τῆς Ἀλεξανδρέων Κύριλλον καὶ τὸν ἁγιώτατον καὶ θεοφιλέστατον συνεπίσκοπον ἡμῶν Μέμνονα, οὕτως ἀνενέγκαι ἐτόλμησαν· ἕτεροι δὲ καὶ τοῦτο τάχα προσθεῖναι ἐθάρρησαν ὡς ἡμῶν καταδεξαμένων τῶι τῆς ἀποστασίας συνεδρίωι εἰς φιλικοὺς λόγους ἐλθεῖν, ὧν ἔξαρχος ὁ τῆς Ἀντιοχέων Ἰωάννης ἐστί. καὶ
L III 769 ὑπὲρ τοῦ μὴ ταῦτα γνωσθῆναι ἡ πολλὴ καθ' ἡμῶν φρουρὰ καὶ ὁ πολὺς γίνεται πόλεμος. ἐν ἀμηχανίαι τοίνυν ὑπάρχοντες οὐ μικρᾶι, πρὸς τὴν ὑμετέραν γράψαι θεοσέβειαν ἐσπουδάσαμεν, εἰδότες ὅτι τέκνων γνησίων τῆι οἰκουμενικῆι συνόδωι ἐπέχοντες τάξιν καὶ τὴν ὀρθόδοξον πίστιν προδοθῆναι μηδαμῶς ἀνεχόμενοι μετὰ πολλῆς ἱκεσίας καὶ δακρύων καὶ τουτωνὶ τῶν γραμμάτων προσπίπτοντες τῶι εὐσεβεστάτωι καὶ φιλοχρίστωι βασιλεῖ διδάξετε τὰ καθ' ἡμῶν ἅπαντα. ἡμεῖς γὰρ οὔτε κατέγνωμεν τῶν προειρημένων ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων τῶν περὶ Κύριλλον καὶ Μέμνονα, ἀλλὰ καὶ μεγάλης αὐτοὺς ἀποδοχῆς καὶ στεφάνων ἀξίους ἡγούμεθα, μόνους καὶ πρώτους ὑπὲρ τοὺς ἄλλους ἅπαντας ζήλωι τῶι κατὰ θεὸν κινηθέντας καὶ παντοίους γενομένους ἐκκόψαι τὸν τῆς ἀσεβείας κήρυκα τὸν ἀσεβέστατον Νεστόριον καὶ τὰς ἐκκλησίας τοῦ τοιούτου καθαρθῆναι μύσους· οὔτε δὲ νῦν ἀνεχόμεθα τῆς τῶν προειρημένων ἁγιωτάτων ἐπισκόπων κοινωνίας χωρισθῆναι, ἀλλὰ καὶ συνεξορισθῆναι τούτοις κέρδος ἡγούμεθα μέγιστον. κέκριται δὲ ἡμῖν μηδὲ τὸ τῆς ἀποστασίας συνέδριον εἰς κοινωνίαν δέξασθαι, ἀλλὰ καὶ ταῖς τῶν πάντων ἀνεθεματίσαμεν φωναῖς ἐπ' ἐκκλησίας Ἰωάννην τὸν Ἀντιοχείας καὶ τοὺς μετ' αὐτοῦ, πρότερον μὲν ἐφ' οἷς συγκαθελεῖν ἡμῖν τὸν τῆς ἀσεβείας κήρυκα Νεστόριον οὐκ ἠνέσχοντο, ἀλλὰ καὶ σὺν αὐτῶι διάγοντες καὶ ὑπὲρ αὐτοῦ ποιούμενοι τὸν λόγον οὐδαμῶς ἐπαύσαντο, ἔπειτα δὲ ἐφ' οἷς καὶ τὴν παρανομωτάτην καὶ τῶν κανόνων ἀλλοτρίαν ἐγχείρησιν τῆς κατὰ τῶν προειρημένων
ep. 153. 158 ἁγιωτάτων ἐπισκόπων ὕβρεώς τε καὶ ἐπηρείας ποιησάμενοι συναρπάσαι τὰς εὐσεβεῖς τῶν φιλοχρίστων βασιλέων ἀκοὰς ἐτόλμησαν, μετὰ δὲ τούτων καὶ διὰ τὸ τοῦ φρονήματος Νεστορίου μηδαμῶς ἀποστῆναι. διά τοι ταῦτα πάντα ἅπαξ αὐτοὺς πάσης ἐκκλησιαστικῆς κοινωνίας ἀποτεμόντες καὶ πᾶσαν ἱερατικὴν ἐνέργειαν περιελόντες ἀφωρίσαμεν, κρίσεως ὄντες μᾶλλον καὶ τῶν ἐκκλησιῶν, ὅπερ ἀπείη, ἐκστῆναι ἢ τούτοις ἔτι ἐλθεῖν εἰς κοινωνίαν, μάλιστα μὴ διορθωσαμένοις ἅπαντα τὰ προειρημένα αὐτῶν πλημμελήματα. γνωρίζομεν δὲ καὶ τῆι ὑμετέραι εὐλαβείαι ὥστε ἐν τῆι ἴσηι ἔχειν αὐτοὺς τάξει.

Ταῦτα οὖν παρακλήθητε τὸν εὐσεβέστατον καὶ θεοφιλέστατον βασιλέα διδάξαντες αἰτῆσαι ὑπὲρ πάσης τῆς συνόδου ἀποδοθῆναι ἡμῖν τοὺς ὑπὸ τῶν κανόνων μηδαμῶς καταγνωσθέντας, τουτέστι τοὺς ἁγιωτάτους καὶ θεοφιλεστάτους ἐπισκόπους Κύριλλον καὶ Μέμνονα, ἐλεηθῆναι δὲ καὶ ἡμᾶς καὶ ἀπὸ τοῦ εὐπροσώπου περιορισμοῦ τούτου ἀνακληθῆναι λοιπόν, καὶ εἰ μὲν ἄξιοι ἐσμὲν ἰδεῖν τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως τὸ πρό-
I IIII 1448 σωπον, τοῦτο ἐπιτραπῆναι ποιῆσαι, εἰ δὲ ἀνάξιοι τούτου ἐκρίθημεν, κἂν εἰς τὰς ἑαυτῶν ὑποστρέψαι ἐκκλησίας, ἵνα μὴ ἐνταῦθα πάντες καταφθαρῶμεν, οἳ μὲν ὑπὸ νόσου, οἳ δὲ

---

V, P [= **hk**], S, D [= mn], ΑΛtΛc

1 ἡμῶν om. D τὰ om. DA 2 ἁγιώτατον καὶ θεοφιλέστατον P 3 ἐπίσκοπον PΛc 4 τάχα καὶ τοῦτο VP 4/5 τὸ — συνέδριον D 8 ἐσπεύσαμεν VP ἐπέχοντασ S 10 τούτων VP βασιλεῖ καὶ φιλοχρίστωι A βασιλεῖ D 11 διδάξετε ΑΛ διδάξατε VPSD ἡμᾶσ D πάντα VP 11/12 ἁγιωτάτων καὶ om. VP 12/13 αὐτούς om. VP 13 ἀποδοχῆς] δόξησ V 15 τὸν ἀσεβέστατον om. D τοῦ om. VP 16 οὐδὲ νῦν S ἀνεδόμεθα V ἁγιωτάτων om. A 17 μέγιστον κέρδοσ ἡγούμεθα S κέρδοσ μέγιστον ἡγούμεθα VP 18 τῶν om. VP 19 τε τὸν VP ἀντιοχέα P 20 Νεστόριον om. S 21 διάγοντες — αὐτοῦ om. S ἐν οἷσ DA εὐθὺσ S 22 ἀλλότριον SD τῆς] τὴν D 24/25 τοῦ νεστορίου VP 25 πάντα om. SΛ πάσης] τῆσ S 27 ἀπήει D 28 διορθωσαμένουσ SA ὀρθωσαμένουσ P πλημμελήματα] σφάλματα A 29 αὐτοὺσ ἔχειν VP 30 παρακλήθητε ΑΛ παρακλήθητε καὶ VPSD εὐλαβέστατον P θεοφιλέστατον SDΑΛ φιλόχριστον VP 31 ἀπὸ SDA 32/33 καὶ Μέμνονα om. S 33 δὲ καὶ] τὲ SΛ ἡμᾶσ ἀπὸ P τούτου] τοῦ S καὶ ἀνακληθῆναι P

ὑπὸ ἀθυμίας ἀναλισκόμενοι. διὰ δὲ τὸ μὴ ὄχλον πολὺν ἐνθεῖναι ταῖς ὑπογραφαῖς ἠρκέσθημεν ταῖς τῶν προέδρων χερσίν.

106 = S 62—64 A 41. 42. Latina uersio partis prioris [usque ad p. 59, 8] extat in Collectione CT 35; Coelestini epistulae exemplar Latinum editum est in Collectione Veronensi 7 L III 609 M IIII 1280

Ἴσον ὑπομνήματος πραχθέντος ἐπὶ τῆι παρουσίαι τῶν ἀπὸ Ῥώμης ἐλθόντων ἐπισκόπων καὶ πρεσβυτέρου

1 Τοῖς μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν Φλαβίου Θεοδοσίου τὸ τρισκαιδέκατον καὶ Φλαβίου Οὐαλεντινιανοῦ τὸ τρίτον τῶν αἰωνίων αὐγούστων τῆι πρὸ ἓξ Εἰδῶν Ἰουλίων, ἥτις ἐστὶ κατ' Αἰγυπτίους Ἐπὶφ ιϛ̄, συνόδου συγκροτηθείσης ἐν τῆι Ἐφεσίων μητροπόλει ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων d. 10 m. Iul. a. 431

καὶ καθεσθέντων ἐν τῶι ἐπισκοπείωι τοῦ θεοσεβεστάτου ἐπισκόπου Μέμνονος τῶν θεοφιλεστάτων καὶ θεοσεβεστάτων ἐπισκόπων

Κυρίλλου Ἀλεξανδρείας, διέποντος καὶ τὸν τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Κελεστίνου,

καὶ Ἰουβεναλίου Ἱεροσολύμων

καὶ Μέμνονος τῆς Ἐφεσίων

καὶ Φλαυιανοῦ Φιλίππων, ἐπέχοντος καὶ τὸν τόπον Ῥούφου τοῦ εὐλαβεστάτου ἐπισκόπου Θεσσαλονικέων,

καὶ Θεοδότου Ἀγκύρας Γαλατίας πρώτης καὶ πάντων τῶν προταγέντων ἐπισκόπων ἐν τῆι στάσει τῶν ὑπομνημάτων M IIII 1281

εἰσελθόντων τε καὶ συνεδρευσάντων τῶν ἀπὸ τῆς Ἑσπέρας θεοφιλεστάτων καὶ θεοσεβεστάτων ἐπισκόπων καὶ πρεσβευτῶν Ἀρκαδίου καὶ Προϊέκτου καὶ τοῦ θεοσεβεστάτου πρεσβυτέρου Φιλίππου τοῦ ἀποστολικοῦ θρόνου καὶ ληγάτου

Ἑρμηνεία τῆς καταθέσεως L III 612

2 Φίλιππος τοῦ ἀποστολικοῦ θρόνου πρεσβύτερος καὶ πρεσβευτὴς εἶπεν· Εὐχαριστοῦμεν τῆι ἁγίαι καὶ σεπτῆι τριάδι ὅτι ἡμᾶς τοὺς εὐτελεῖς τοῦ ἁγίου ὑμῶν συλλόγου ἠξίωσεν. πάλαι μὲν οὖν ὁ ἁγιώτατος καὶ μακαριώτατος πάπας ἡμῶν Κελεστῖνος ὁ τῆς ἀποστολικῆς καθέδρας ἐπίσκοπος περὶ τῆς παρούσης ὑποθέσεως δι' ἐπιστολῶν ἑαυτοῦ πρὸς τὸν ἅγιον καὶ εὐλαβέστατον ἄνδρα, τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπίσκοπον Κύριλλον ὥρισεν, ἅτινα γράμματα τῶι ἁγίωι ὑμῶν συλλόγωι πεπόρισται· καὶ νῦν δὲ πρὸς βεβαίωσιν τῆς καθολικῆς πίστεως πρὸς τὴν πάντων ὑμῶν εὐλάβειαν δι' ἡμῶν γράμματα ἐξέπεμψεν, ἅτινα παρ' ἡμῶν ὑποδειχθέντα πρεπόντως τῆι ἁγίαι συνόδωι ἀναγνωσθῆναι κελεύσατε καὶ τοῖς ἐκκλησιαστικοῖς ὑπομνήμασιν ἐνταγῆναι. ep. 9

---

V, P [= hk], S, D [= mn], AΛ[t]Λ[c]

1 ἀπὸ ἀθυμίασ P

5 ρϛ̄ V ϛζ̄ P ξβ̄ SD τῆ om. SDA 6 πρεσβυτέρων VPSD 7 Τῆς P φλαβίου VPΛ om. SDA 8 τῆι om. VP 9 ἐπὶφ ιϛ̄ DAΛ ἐπιφὶ ἕκτη VPA ἐπιφὶ καὶ S 10 ἡμῶν βασιλέων S 11 θεοσεβεστάτου VPΛ θεοφιλεστάτου SDA 12 καὶ θεοσεβεστάτων SD om. VPA 16 καὶ om. S ἐφέσου DA 17 εὐλαβεστάτου VPΛ ἁγιωτάτου SDA 19/20 καὶ πάντων — ὑπομνημάτων SDAΛ καὶ φίρμου καισαρείας καππαδοκίας πρώτης καὶ πάντων τῶν λοιπῶν ἐπισκόπων καὶ βεσσούλα [βεσουλᾶ V] διακόνου καρθαγένης VP 21 τε VPΛ δὲ SDA τῶν om. VP 22 ἀρκαδίου προιέκτου P θεοσεβεστάτου SDAΛ θεοφιλεστάτου VP 23 καὶ ληγάτου τοῦ ἀποστολικοῦ θρόνου A 24 ἑρμηνεία τῆς καταθέσεως om. P 25 καὶ πρεσβευτὴς om. P 27 πάππας D ὁ] ὡς P 28/29 ἅγιον καὶ om. S 28 ἁγιώτατον P 29 ὥρισω [sic] S 30 συλλόγω ὑμῶν P 31 δι' ὑμῶν P om. S 32 ὑμῶν ὑποδεχθέντα PS

Ἑρμηνεία τῆς καταθέσεως

8 Ἀρκάδιος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς Ῥωμαίων ἐκκλησίας εἶπεν· Κελευσάτω ἡ ὑμετέρα μακαριότης τὰ προσενεχθέντα ὑμῖν γράμματα τοῦ ἁγίου καὶ μετὰ πάσης προσκυνήσεως ὀνομαζομένου πάπα Κελεστίνου τῆς ἀποστολικῆς καθέδρας ἐπισκόπου ἀναγνωσθῆναι, ἐξ ὧν γνῶναι δυνήσεται ἡ ὑμετέρα μακαριότης ποίαν ἔχει φροντίδα πασῶν τῶν ἐκκλησιῶν.

8a Προίεκτος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς Ῥωμαίων ἐκκλησίας εἶπε· Κελευσάτω ἡ ὑμετέρα μακαριότης τὰ προσενεχθέντα ὑμῖν γράμματα τοῦ ἁγίου καὶ μετὰ πάσης προσκυνήσεως ὀνομαζομένου πάπα Κελεστίνου τῆς ἀποστολικῆς καθέδρας ἐπισκόπου ἀναγνωσθῆναι ἐξ ὧν γνῶναι δυνήσεται ἡ ὑμετέρα μακαριότης ποίαν ἔχει φροντίδα πασῶν τῶν ἐκκλησιῶν.

8b Καὶ μετὰ το διαλαλῆσαι τὸν ἁγιώτατον καὶ θεοφιλέστατον ἀρχιεπίσκοπον τῆς Ἀλεξανδρέων ἐκκλησίας Κύριλλον [καθὼς ἑξῆς περιέχει],

4 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ὑποδεχθὲν τὸ γράμμα τοῦ ἁγιωτάτου καὶ τὰ πάντα ὁσιωτάτου τῆς ἁγίας ἀποστολικῆς ἐκκλησίας ἐπισκόπου τῆς Ῥωμαίων Κελεστίνου μετὰ τῆς προσφόρου τιμῆς ἀναγινωσκέσθω τῆι ἁγίαι συνόδωι.

5 Ἑρμηνεία. Σιρίκιος νοτάριος τῆς ἁγίας καθολικῆς ἐκκλησίας πόλεως Ῥωμαίων ἀνέγνω.

6 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Ῥωμαιστὶ Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Τὰ ἀναγνωσθέντα τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου τῆς μεγάλης Ῥώμης Κελεστίνου γράμματα εὐσεβῶς καὶ ὀρθοδόξως ἔχοντα ἐμφερέσθω τοῖς πραττομένοις.

7 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ᾔτησαν ἑρμηνευθῆναι τὴν ἐπιστολὴν καὶ ἀναγνωσθῆναι.

M IIII 1284 Ἑρμηνεία τῆς καταθέσεως

8 Φίλιππος πρεσβύτερος τῆς ἀποστολικῆς καθέδρας καὶ πρεσβευτὴς εἶπεν· Τὸ ἱκανὸν ἐγένετο τῆι συνηθείαι ἵνα τὰ γράμματα τῆς ἀποστολικῆς καθέδρας ἐν πρώτοις Ῥωμαιστὶ ἀναγνωσθῆι· νῦν δὲ ὁμοίως, ἐπειδὴ ἡ ὑμετέρα ἀπαιτεῖ μακαριότης ὅπως καὶ Ἑλληνιστὶ ἀναγνωσθῶσιν, ἀναγκαῖόν ἐστι τῶι πόθωι τῆς ὑμετέρας ἁγιότητος γενέσθαι τὸ ἱκανόν. ὅπερ πρᾶξαι ἐφροντίσαμεν ἵνα ἡ Ῥωμαικὴ ὁμιλία Ἑλληνιστὶ μεταβληθείη. κελεύσατε οὖν ὑποδεχθῆναι καὶ ταῖς ἁγίαις ὑμῶν ἀκοαῖς ἐγκατατίθεσθαι.

---

V, P [= hk], S, D [= mn], AΛtΛc

2 ἀρκάδιοσ καὶ προίεκτοσ ἐπίσκοποι καὶ πρεσβευταὶ SDAΛ εἶπον SDAΛ 3 ἡμῖν S 7—11 om SDAΛ 11a—14a 18 19 12—17. 18 19 (iterum) V 12—17 11a—14a 18 19 P 12—17 18 19 SDAΛ 12 ἐπίσκοπος om S 13 υποδειχθὲν Λ 14 τα om VP ἁγίασ καὶ SD ἀποστολικῆς] καθολικῆς P 13a 14a καθὼς — περιέχει deleui 15 καθέδρας V ἐκκλησίας V mg τῆσ ῥωμαίων VPΛ om SDA 17 τῇ ἁγία συνόδω SDAΛ om VP 18 Ἑρμηνεία DA om V (altero loco) PS σηρίκιοσ A Μηρίκιος D 19 ἀνέγνω VPΛt ἀνέγνω ῥωμαιστὶ SDAΛc 20 Καὶ — Ῥωμαιστὶ om SDAΛ 21 ἐπισκόπου VPΛ ἀρχιεπισκόπου SDA 22 πραττομένοις VP ὑπομνήμασι SDA 23 τὴν ἐπιστολὴν SDAΛ om. VP 23/24 ἀναγνωσθῆναι καὶ ἑρμηνευθῆναι V 25 τῆς om. V 26 πρεσβύτεροσ καὶ πρεσβευτὴσ [his postea non omissis] S 27 τὰ γράμματα DA γράμματα τὰ S γράμματα VP 27/28 ἀναγνωσθῆ SDA ἀναγνωσθεῖεν P ἀναγνωσθῶσι V 29 ἁγιότητος VPΛ μακαριότητοσ SDA 30/31 ὑποδειχθῆναι A 31 ἐγκατατεθῆναι SD

## Ἑρμηνεία τῆς καταθέσεως

L III 613

9 Ἀρκάδιος καὶ Προίεκτος οἱ εὐλαβέστατοι ἐπίσκοποι καὶ πρεσβευταὶ εἶπον· Καθὼς ἐκέλευσεν ἡ ὑμετέρα μακαριότης, ἵνα εἰς τὴν πάντων γνῶσιν ἔλθηι τὰ γράμματα τὰ προσενεχθέντα, ἐπειδὴ πολλοί εἰσι τῶν ἁγίων ἀδελφῶν καὶ ἐπισκόπων ἡμῶν, οἵτινες Ῥωμαιστὶ ἀγνοοῦσι, διά τοι τοῦτο καὶ Ἑλληνιστὶ ἡ προκομισθεῖσα ἐπιστ λὴ μεταβέβληται· καὶ εἰ κελεύσοιτε, ἀναγνωσθήσεται.

10 Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Ἡ προκομισθεῖσα ἑρμηνεία τῆς ἐπιστολῆς τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἁγιωτάτης ἐκκλησίας ὑποδεχθεῖσα ἀναγινωσκέσθω.

11 Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων ἀνέγνω

12 Κελεστῖνος τῆι ἁγίαι συνόδωι τῆι ἐν Ἐφέσωι συναχθείσηι, ἀγαπητοῖς καὶ ποθεινοτάτοις, ἐν κυρίωι χαίρειν. Τοῦ ἁγίου πνεύματος ἐμφανίζει τὴν παρουσίαν τῶν ἱερέων ἡ σύνοδος. ἀληθὲς γάρ ἐστι τὸ γεγραμμένον, ἐπειδὴ καὶ οὐ δύναται ἡ ἀλήθεια ψεύσασθαι, ὅτι δὴ ἐν εὐαγγελίωι τοιαύτη ἔγκειται φωνή· ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι Mt. 18, 20 ἐπὶ τῶι ἐμῶι ὀνόματι, ἐκεῖ εἰμι ἐν μέσωι αὐτῶν. τούτ υ οὕτως ἔχοντος, εἰ οὐδὲ τοῦ οὕτως βραχέος ἀριθμοῦ τὸ πνεῦμα τὸ ἅγιον ἀπολείπεται, πόσωι μᾶλλον αὐτὸ νῦν μεσιτεύειν πιστεύσαιμεν, ὅπου εἰς ἓν συνήχθη τοσοῦτον πλῆθος ἁγίων; καὶ γὰρ ἅγιόν ἐστι κατὰ τὸ οἰκεῖον σέβας συνέδριον ἐν ὧι καθάπερ ἐκείνης τῆς μεγίστης τῶν ἀποστόλων συνόδου, ὡς ἀνέγνωμεν, ἔστιν ὁρᾶν τὴν εὐλάβειαν. οὐδεπώποτε τούτων Act. 15, 6 ἀπελείφθη ὁ παρ' αὐτῶν κηρυχθεὶς διδάσκαλος· παρῆν αὐτοῖς ἀεὶ ὁ κύριος καὶ διδάσκαλος, ἀλλ' οὐδὲ διδασκόμενοι παρὰ τοῦ οἰκείου διδασκάλου πώποτε κατελείφθησαν. ὁ πέμψας ἐδίδασκεν· ὁ εἰπὼν τί διδάξουσιν, ἐδίδασκεν, ⟨ἐδίδασκεν⟩ ὁ τοῖς οἰκείοις ἀποστόλοις ἑαυτὸν
13 ἐμφανίζων. ἀκουέσθω ταῦτα παρὰ πάντων εἰς τὸ κοινόν, κύριοι ἀδελφοί· ἃ τῆς παρατεθείσης διδασκαλίας ἡ φροντὶς παρέπεμψε δικαίωι κληρονομίας εἰς ἡμᾶς, ἐν ταύτηι τῆι φροντίδι σφιγγόμεθα οἱ πανταχοῦ καὶ ἀνὰ πᾶσαν τὴν οἰκουμένην τῆι ἐκείνων διαδοχῆι τὸ ὄνομα τοῦ κυρίου κηρύττομεν, ὡς ἐκείνοις προστέτακται· πορευθέντες μαθητεύσατε Mt. 28, 19 πάντα τὰ ἔθνη. προσέχειν ἡ ὑμετέρα ἀδελφότης ὀφείλει ὅτι παρεδέξατο γενικὴν ἐντολὴν καὶ ἡμᾶς αὐτοὺς πάντας τοῦτο πράττειν ἠθέλησεν ὅστις πᾶσιν ἐκείνοις περὶ τῆς κοινῆς ἐνετείλατο λειτουργίας. ἀναγκαῖόν ἐστιν ὅπως προσηκόντως τοῖς ἑαυτῶν πατράσιν ἀκολουθήσωμεν, ὑπεισελθόντες πάντες αὐτῶν τὸν κάματον οἱ τὴν τούτων διαδεξά- M IIII 1285 μενοι τιμήν. χορηγήσωμεν τὴν ἐπιμέλειαν τοῖς τούτων διδάγμασι, μεθ' ἃ ὑπομιμνήσκοντος Gal 1, 9 τοῦ ἀποστόλου οὐδεμίαν διδασκαλίαν προσθεῖναι κελευόμεθα. οὐκ ἔστιν ἐλάσσων τιμὴ

Caelestini epistulae exemplar latinum [JK 379] extat praeter Collectionem CT in Collectionibus Veronensi [Λu], Frisingensi [Λf], Vaticana [Λl], denique in Hadriana quae dicitur aucta. haec et Collectio Casinensis ex uersione Graeca interpolatae sunt

V, P [= hk], S, D [= mn], ΑΛtΛc [usque ad 10], ΛtΛcΛuΛfΛl [inde a 11]

1 Ἑρμηνεία τῆς καταθέσεως om. P τῆς om. VSA 3 καὶ ἵνα P 3/4 προενεχθέντα A 4 coepiscoporum Λ 6 κελεύσητε P 7/8 τοῦ θεοφιλεστάτου — ἐκκλησίας om. VPΛ 10 πριμικήριοσ VPSD εἶπε A 11 ἔγ SD 14 δὴ καὶ A συνηγμένοι εἰσὶν P 16 οὐδὲ] δὲ P οὐκ ἀπολείπεται P 17 νῦν οὐ D πιστεύσαιμεν D [= Λtufl] πιστεύσαιεν S πιστεύσομεν A πιστεύομεν VP [= Λc] τοσούτων P τοσοῦτο A 19 τούτων VP αὐτῶν SDA 20 ἀπελείφθη SD [= Λ] ἀπέλειπεν A ἀπολείπει VP αὐτὸς D ἀεὶ om. P καὶ ὁ P 21 διδασκάλου om. P 22 ἐδίδασκεν addidi ex Λ 24 δικαίως κληρονομίαν SDA 25 σφιγγόμενοι SD 26 τοῦ om. V κηρύττοντες V 27 προσχεῖν SA 28 πάντας om. P ἠθέλησε τοῦτο πράττειν SDA 29 πίστεως καὶ λειτουργίας V 30 ἀκολουθήσωμεν VP ἀκολουθῶμεν SDA πάντως P καὶ οἱ SD 30/31 δεξάμενοι S 31 μεθ' ἃ om. A ὑπομιμνήσκοντεσ DA 32 κελευσόμεθα V ἐλάττων S

τῆς ὑπηρεσίας τῶι διδάσκοντι ἡ τῶν παραδιδομένων φυλακή. ἐκεῖνοι ἔσπειραν τῆς
cf. Mt. 25, 14 sq. πίστεως τὰ σπέρματα· ταῦτα ἡ ὑμετέρα φροντὶς ἀσφαλιζέσθω ὅπως ἀδιάφθορον καὶ πο-
λυπλασιασθέντα καρπὸν ἡ παρουσία τοῦ ἡμετέρου δεσπότου εὕροι, ὧι μόνωι τῶν ἀποστό-
1 Cor. 3, 7 λων ἡ ὡραιότης ἐμφανίζεται. καὶ γὰρ λαλῶν τοῖς ἑαυτοῦ ἐκλεκτοῖς Παῦλος ἑαυτὸν
φυτεύειν καὶ ποτίζειν οὐκ ἐπαρκεῖν ἔφη, εἰ μὴ θεὸς τὸ αὐξάνεσθαι καὶ πληθύνεσθαι ἐχα-
L. III 616 ρίσατο. τοιγαροῦν περισπούδαστόν ἐστι καὶ πρακτέον καμάτωι κοινῶι ὅπως τὰ ἐμπι-
14 στευθέντα καὶ διὰ τῆς ἀποστολικῆς διαδοχῆς ἕως τοῦ νῦν συσχεθέντα φυλάξωμεν. ἐκεῖνο
2 Cor. 5, 7 γὰρ παρ' ἡμῶν αἰτεῖται ἵνα κατὰ τὸν ἀπόστολον περιπατήσωμεν· οὔτε γὰρ νῦν πρόσωπόν
τι, ἀλλ' ἡ ἡμετέρα πίστις καλεῖται πρὸς δίκην. ὅπλα πνευματικὰ θωρήξασθαι δεῖ, ἐπειδὴ
πόλεμοι κινοῦνται ψυχῶν, καὶ βέλη ῥημάτων, ὅπως ἐν τῆι πίστει τοῦ βασιλέως ἡμῶν παρα-
1 Tim. 1, 3 μείνωμεν. πάντας νῦν τοὺς ἐκεῖσε ὁ μακάριος Παῦλος ὑπομιμνήσκει, ἔνθα Τιμοθέωι
μένειν ἐνετείλατο. ὁ αὐτὸς τοιγαροῦν τόπος, ἡ αὐτὴ ὑπόθεσις τὴν αὐτὴν διακονίαν καὶ
νῦν ἀπαιτεῖ, ἡμεῖς τε νῦν πράξωμεν καὶ σπουδάσωμεν εἰς τοῦτο ὃ ἐκείνοις πράττειν προσ-
1 Tim. 1, 3-4 τέτακται, ἵνα μὴ ἄλλως τις φρονῆι, καὶ ζητήσεις ταῖς μάλιστα παρούσαις μακρολογίαις
Phil. 2, 2. 3 μηδεὶς ἐντεινέτω· ὡς αὐτὸς προσέταξε, μένωμεν ὁμόψυχοι, ἓν καὶ τὸ αὐτὸ φρονοῦντες,
ἐπειδὴ τοῦτο συμφέρει, μηδὲν διὰ φιλονεικίαν, μηδὲν πράττειν διὰ ματαίαν κενοδοξίαν εὐχό-
μενοι. μία ψυχὴ καὶ καρδία μία ἔστω τοῖς πᾶσιν, ὅτε ἡ πίστις, ἥτις μία ἐστι, παρα-
15 χαράττεται. πονείτω, μᾶλλον δὲ θρηνείτω τοῦτο μεθ' ἡμῶν κοινῆι πᾶν τὸ συνέ-
δριον. εἰς κριτήριον καλεῖται ὁ κρίνων τὴν οἰκουμένην· εὐθύνεται ὁ σείων πᾶσαν τὴν
Eph. 6, 17 γῆν, καὶ ὁ λυτρωτὴς συκοφαντίαν ὑπομένει. θωρηξάσθω τὴν πανοπλίαν τοῦ θεοῦ ἡ ὑμε-
Eph. 6, 14 τέρα ἀδελφότης· οἴδατε τὴν περικεφαλαίαν ἥτις τὴν ἡμετέραν ἀσφαλίζεται κεφαλήν, ποῖος
θώραξ τὸ ἡμέτερον στῆθος τειχίζει. οὐ νῦν πρῶτον ὑμᾶς οἱ ἐκκλησιαστικοὶ περίβολοι
Eph. 2, 14 διδασκάλους ἐδέξαντο. οὐδεὶς ἀμφιβάλλει, τοῦ θεοῦ συνεργοῦντος, ὃς ποιεῖ τὰ ἀμφότερα
ἕν, ὅτιπερ ἀποτεθέντων τῶν ὅπλων εἰρήνη διαδέχεται, ἐπειδὴ αὐτὴ ἡ ὑπόθεσις ἑαυτὴν ἐκ-
16 δικεῖ. ἀναπολήσωμεν πάλιν κἀκεῖνα τὰ ῥήματα τοῦ ἡμετέρου δεσπότου, οἷς ἰδικῶς ἐχρή-
Act. Ap. 20, 28 σατο διὰ τῶν οἰκείων ἐπισκόπων ταῦτα παραγγέλλων· προσέχετε, φησίν, ἑαυτοῖς καὶ πάσηι
τῆι ἀγέληι, ἧς ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔταξεν ἐπισκόπους διοικεῖν τὴν ἐκκλησίαν τοῦ
θεοῦ, ἣν περιεποιήσατο τῶι ἰδίωι αἵματι. ὅθεν τούτους κληθέντας ἀνέγνωμεν τοὺς ταῦτα
ἀκούσαντας Ἐφεσίους, ἔνθα νῦν ἡ ὑμετέρα ἁγιότης συνελήλυθε. τούτοις τοιγαροῦν οἷς
ἐστι γνώριμος ἡ διδασκαλία τῆς πίστεως, ἔστω γνωστὴ καὶ ἡ ὑμετέρα ἐκδίκησις. παρά-
σχωμεν αὐτοῖς διὰ τῆς ἡμετέρας διανοίας ἐκείνης τῆς προσκυνήσεως τὴν ἰσχύν, ἧς εἰσιν
ἄξιοι, καὶ μὴν καὶ τὰ λίαν ὑψηλότερα, ἃ εὐσεβεῖ διανοίαι ἡ διηνεκὴς ἐφύλαξεν εἰρήνη.
ἀπαγγελλέσθω παρ' ἡμῶν τὰ παρὰ τῶν ἀποστόλων προκηρυχθέντα, ὅτι οὐδεπώποτε τοῦ

---

V, P [= bk], S, D [= mn], ΑΛ$^{t}$Λ$^{c}$Λ$^{u}$Λ$^{f}$Λ$^{l}$

2 σπέρματα] δόγματα D  ἡμετέρα SA  4 ὁ παῦλοσ SDA  6 καμάτω κοινῶ ὅπως P [= Λ] ὅπως καμάτω κοινῶ SDA ὅπως V  6/7 ἐμπεπιστευμένα S  7 διδαχῆσ SD  ἐκεῖνο] αἰτεῖται [sic] S  8 τὸν ἀποστολικὸν τύπον A  9 σωματικὰ S  10/11 παραμένωμεν SDA  11 ἐκεῖ P  12 τύποσ A  12/13 ἀπαιτεῖ καὶ νῦν SDA  13 ὃ om. A  14 ἄλλωσ τίσ PA ἄλλο τισ V τισ ἄλλωσ S τισ ἄλλος D  ἐκ τῆς παρούσης μάλιστα μακρολογίας V  παρούσαισ μάλιστα P  15 ἐντείναιτο A  16/17 ἐχόμενοι VPA  18 τοῦτο τῶν μεθ' ὑμῶν P  κοινόν A  παντὸσ A πάντων τὸ P  18/19 συνεδρίου A  19 κρίσιν SDA  τὴν SDA [= Λ] πᾶσαν τὴν VP  21 ἡμετέραν V [= Λ] ὑμετέραν PSDA  καὶ ποῖος P  22 ὑμέτερον PDA  23 ἀμφιβάλει V ἀμφιβαλεῖ P  ποιεῖται A  24 τῶν om. VP  ἡ αὐτὴ V  25 τοῦ ἡμετέρου τὰ ῥήματα P  εἰδικῶσ S  26 ἰδίων SDA  φησὶν VP [= Λ] om. SDA  27 ἡμᾶς D  ἐπισκοπεῖν ἔταξεν S  28 τούτουσ A [= Λ] του$^{τ'}$ S τούτου D τοιούτους VP  κληθέν$^{τ}$ S κληθέντος D  29 τούτοισ SDA [= Λf] om. VP  30 ἡ om. S  ἡ om. S  ἡμετέρα V  ἐκδικία P διδασκαλία SDA  31 ἡμετέρας V [= Λ] ὑμετέρασ PSDA  διανοίας om. A  τὴν ἰσχὺν] τυχεῖν P  32 μὴν PSD μὲν A μείνη V  καὶ τὰ λίαν SDA καταλαλιᾶς VP  ὑψηλὰ S  33 ὑμῶν VP  ἀπαγγελθέντα A

βασιλέως τῶν βασιλευόντων ῥήματα τυραννικῆς ἐπιχειρήσεως ἡλάττωται οὐδὲ κάμνειν ἠδυνήθη M IIII 1288 διὰ πλαστολογίας ἡ δύναμις τῆς ἀληθείας. ὑμᾶς προτρέπω, ἀδελφοὶ τιμιώτατ ι· ἐκείνη μόνη περισκοπείσθω ἡ γνώμη κατὰ τὴν φωνὴν Ἰωάννου τοῦ ἀποστόλου, οὗ τὰ λείψανα 1 Ioh. 4, 16 παρόντες τετιμήκατε. ἔστω κοινὴ εὐχὴ πρὸς τὸν κύριον. οἴδαμεν ποία δύναμις τῆς θείας αὐτοῦ καὶ ἐσομένης παρουσίας ἔσται, παρακαλούσης ὁμοψύχως τῆς τοσαύτης τῶν ἱερέων πληθύος, ἐπειδὴ ὁ τόπος ἐκεῖνος κινεῖν δύναται, ἐν ὧι ὁμογνωμόνως ⟨παρακεκληκέναι⟩ Act. 4, 31 τοὺς δώδεκα ἀνέγνωμεν. τίς τῶν ἀποστόλων ἡ αἴτησις δεομένων ἐγένετο; δηλαδὴ ἵνα δέξωνται τὸν λόγον τοῦ θεοῦ λαλεῖν μετὰ παρρησίας καὶ διὰ τῆς αὐτοῦ δυνάμεως Act. 4, 29. 30 ἐνεργεῖν ὧν διδόντος Χριστοῦ τοῦ θεοῦ ἡμῶν εἰλήφεισαν τὴν ἐξουσίαν. καὶ τῆι ὑμετέραι νῦν ἁγίαι συνόδωι τί ἐστιν ἄλλο αἰτεῖν ἢ ὅπως μετὰ παρρησίας λαλήσητε τὸν λόγον τοῦ L III 617 κυρίου; καὶ ταῦτα δέδωκε φυλάττειν ὥσπερ καὶ κηρύττειν ἐχαρίσατο, καὶ πεπληρωμένοι πνεύματος ἁγίου καθ' ἃ γέγραπται, εἰ καὶ διαφόρωι στόματι, ἓν ὅμως ὅπερ αὐτὸ τὸ πνεῦμα Act. 2, 4 ἐδίδαξε, προσοίσετε. τούτοις πᾶσι συντόνως νενευρωμένοι, ἐπειδὴ καθ' ἅ φησιν ὁ ἀπόστολος, Rom. 7, 1 1 Cor. 2, 6 *εἰδόσι λαλῶ* καὶ *λαλῶ σύνεσιν ἐν τοῖς τελείοις*, ἐπαγωνίσασθε κανονικῆι πίστει καὶ τῆι τῶν ἐκκλησιῶν εἰρήνηι, συνηγορήσατε, ἐπειδὴ οὕτως εἴρηται, καὶ τοῖς πάλαι καὶ τοῖς νῦν καὶ τοῖς μέλλουσι, παρακαλοῦντες καὶ σῴζοντες *τὰ εἰς εἰρήνην τῆι* Ps. 121, 6 *Ἱερουσαλήμ*.

**18** Ἀπεστείλαμεν τὴν ἡμετέραν ἀναδεχομένους φροντίδα τοὺς ἁγίους ἀδελφοὺς καὶ συλλειτουργοὺς ἡμῶν ὁμοψύχους ἡμῖν καὶ δεδοκιμασμένους Ἀρκάδιον καὶ Προίεκτον ἐπισκόπους καὶ Φίλιππον τὸν ἡμέτερον πρεσβύτερον, οἳ τοῖς πραττομένοις παρέσονται καὶ τὰ παρ' ἡμῶν πάλαι ὁρισθέντα ἐκβιβάσουσιν, οἷς παρασχεθῆναι παρὰ τῆς ὑμετέρας ἁγιότητος οὐκ ἀμφιβάλλομεν συγκατάθεσιν, ἐπειδὴ τοῦτο ὅπερ ἀνέγνωτε, δοκεῖ ὑπὲρ τῆς πασῶν τῶν ἐκκλησιῶν ἀμεριμνίας κεκρίσθαι.

**19** Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἅμα εἶπον· Αὕτη δικαία κρίσις. νέωι Παύλωι Κελεστίνωι· νέωι Παύλωι Κυρίλλωι. Κελεστίνωι τῶι φύλακι τῆς πίστεως. Κελεστίνωι τῶι ὁμοψύχωι τῆς συνόδου. Κελεστίνωι εὐχαριστεῖ πᾶσα ἡ σύνοδος. εἷς Κελεστῖνος, εἷς Κύριλλος· μία πίστις τῆς συνόδου, μία πίστις τῆς οἰκουμένης.

Ἑρμηνεία τῆς καταθέσεως

**20** Προίεκτος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ πρεσβευτὴς εἶπε· Κατανοησάτω ἡ ὑμετέρα ἁγιότης τῶι τύπωι τῶν γραμμάτων τοῦ ἁγίου καὶ σεβασμίου πάπα Κελεστίνου τοῦ ἐπισκόπου, ὃς προετρέψατο τὴν ὑμετέραν ἁγιωσύνην οὐχ ὡς ἀγνοοῦσαν διδάσκων, ἀλλ' ὡς γινώσκουσαν ὑπομιμνήσκων ἵνα ταῦτα ἃ καὶ πάλαι ὥρισε καὶ νῦν ὑπομνῆσαι κατηξίωσεν, εἰς πέρας κελεύσητε πληρέστατον ἄγεσθαι κατὰ τὸν κανόνα τῆς κοινῆς πίστεως καὶ κατὰ τὸ χρήσιμον τῆς καθολικῆς ἐκκλησίας.

---

V, P [= hk], S, D [= mn], A, $\Lambda^{t}\Lambda^{c}\Lambda^{u}\Lambda^{f}\Lambda^{l}$ [usque ad 23], $\Lambda^{t}\Lambda^{c}$ [inde a 24 usque ad 27]

1 τυραννικῶσ ἐπιχειρήσεων S   1/2 ἐδυνήθη P   2 πλαστολογίαν D   προτρέπω A [= Λ] προτρεπέτω PSD προπεμπέτω V   3 ἀποστόλου SDA [= Λ] εὐαγγελιστοῦ VP   6 ὁ τόποσ A [= Λ] τούτουσ VPSD   *moueri* Λ   6/7 παρακεκληκέναι ex Λ addidi   7 ἀποστόλων SDA [= Λ] δώδεκα VP   8 τοῦ om. P   ἑαυτοῦ DA   9 ὧν SD [= Λ] ὃν V ὡσ PA   εἰλήφεσαν P εἰλήφασι SDA [= $\Lambda^{cf}$]   10 ἢ A [= Λ] ἢ γὰρ VPSD   λαλήσητε τὸν om. SD   11 κ̅υ̅ SDA [= Λ] χ̅υ̅ VP   καὶ — δέδωκε] *quam ut det* Λ   ὥπερ SD   13 προσοίσετε A [cf. Λ] καὶ προσοίσετε P καὶ προσοίσεται SD καὶ προσίεται V   πᾶσι τῷ π̅ν̅ι̅ A   συντόνως] om. A *breuiter* Λ   15 συναγορεύσατε P   εἴρηκε D   16 τοῖς νῦν καὶ om. P   18 ἀναδεχόμενοι S   20 τῶν πραττομένων S   21 πάλιν SDA   ἐκβιβάζουσιν P   ἀνέγνωτε SDA [= Λ] ἂν γνῶτε VP   23 μερίμνης P   24 εἶπον VPΛ ἀνεβόησαν SD ἐβόησαν A   25 κελεστίνω τῶ φύλακι τῆς πίστεως post 26 σύνοδος coll. D   26 τῶι om. P   28 — p. 58, 31 om. Λ   28 om. P   29 ὁ εὐλαβέστατος om. PD ὁ om. SA   30 τῷ τύπω VPS τὸν τύπον DA   πάππα D   32 πάλιν S

21 Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπε· Καὶ πρότερον ψῆφον ἐπέθηκε καὶ τύπον τῶι πράγματι ὁ ἀποστολικὸς καὶ ἅγιος θρόνος τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπι- [ep. 9. 12. 11] σκόπου Κελεστίνου διὰ γραμμάτων τῶν πρὸς τοὺς θεοφιλεστάτους ἐπισκόπους, φημὶ δὴ [M IIII 1289] Κύριλλον τὸν τῆς Ἀλεξανδρείας καὶ Ἰουβενάλιον τὸν Ἱεροσολύμων καὶ Ῥοῦφον τὸν τῆς Θεσσαλονικέων καὶ πρὸς τὰς ἁγίας ἐκκλησίας τὴν ἐν Κωνσταντινουπόλει καὶ τὴν ἐν Ἀντιοχείαι, ὧι ἀκολουθήσαντες καὶ ἡμεῖς, πάλαι τῆς προθεσμίας τῆς δεδομένης εἰς διόρθωσιν Νεστορίωι παρελθούσης καὶ πολλῶν διαγενομένων χρόνων, ἐπειδὴ τὴν Ἐφεσίων κατελάβομεν, τοῦτο τοῦ εὐσεβεστάτου βασιλέως προστάξαντος, καὶ ἐνταῦθα διατρίψαντες χρόνον οὐκ ὀλίγον, ὥστε καὶ τὴν παρὰ τοῦ βασιλέως παρελθεῖν προθεσμίαν, ἐπειδὴ προσκαλεσαμένων ἡμῶν Νεστόριον οὐχ ὑπήκουσε, τὸν τύπον ἐξεβιβάσαμεν, κανονικὴν καὶ ἀποστολικὴν ἐν αὐτῶι κατανοήσαντες κρίσιν.

Ἑρμηνεία τῆς καταθέσεως

22 Ἀρκάδιος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ πρεσβευτὴς εἶπεν· Εἰ καὶ τὰ μάλιστα ἡμᾶς τὸ βράδος τοῦ πλοὸς καὶ τοῦ χειμῶνος ἡ ἐναντιότης κατέσχεν ἵνα εἰς τὸν τεταγμένον τόπον ἧιπερ ἠλπίζομεν, ἀφιχθῶμεν, ὅμως, κυβερνῶντος θεοῦ καὶ τῶν εὐχῶν τῆς ὑμετέρας μακαριότητος, ἐνταῦθα τὸ ἡμῶν μέτριον παρεγένετο, καὶ εὐχαριστοῦμεν αὐτῶι, ἐπειδὴ τὴν μακαριότητα τὴν ὑμετέραν εἰς ἕνα τόπον καὶ εἰς μίαν πίστιν μένουσαν εὕρομεν μεριμνῶντάς τε ὑπὲρ τῆς ἐκκλησίας τοῦ θεοῦ, ἣν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῶι ἑαυτοῦ αἵματι περιεποίησε. διὰ τοῦτο αἰτοῦμεν τὴν μακαριότητα τὴν ὑμετέραν ὅπως τί τετύπωται παρὰ τῆς ὑμετέρας μακαριότητος, ἡμᾶς διδάσκεσθαι κελεύσητε.

Ἑρμηνεία τῆς καταθέσεως

23 Φίλιππος πρεσβύτερος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας εἶπε· Χάριτας ὁμο- [L III 620] λογοῦμεν τῆι ἁγίαι ταύτηι καὶ σεβασμίαι συνόδωι ὅτι ἀναγινωσκομένων ὑμῖν τῶν γραμμάτων τοῦ ἁγίου καὶ μακαρίου πάπα ἡμῶν τὰ ἅγια μέλη ταῖς ἁγίαις ὑμῶν φωναῖς τῆι ἁγίαι κεφαλῆι καὶ ταῖς ἁγίαις ὑμῶν ἐκβοήσεσιν ἐνηνόχατε· οὐ γὰρ ἀγνοεῖ ἡ ὑμῶν μακαριότης ὅτι ἡ κεφαλὴ ὅλης τῆς πίστεως ἢ καὶ τῶν ἀποστόλων ὁ μακάριος Πέτρος ὁ ἀπόστολος. καὶ ἐπειδὴ νῦν τὸ μέτριον τὸ ἡμέτερον πολλοῖς χειμῶσιν ἐσκυλμένον βραδύτερον παρεγένετο, διὰ τοῦτο παρακαλοῦμεν τὰ ἐν τῆι ἁγίαι συνόδωι πρὸ τῆς ἡμῶν ἀφίξεως πεπραγμένα ἡμῖν φανερωθῆναι κελεύσητε, ἵνα κατὰ τὴν γνώμην τοῦ μακαρίου πάπα ἡμῶν, ἔτι μὴν καὶ τοῦ παρόντος ἁγίου συλλόγου καὶ ἡμεῖς ὁμοίως τῆι ἑαυτῶν καταθέσει βεβαιώσωμεν.

24 Θεόδοτος ἐπίσκοπος Ἀγκύρας εἶπε· Δικαίαν τῆς ἁγίας συνόδου τὴν ψῆφον ἀπέδειξεν ὁ τῶν ὅλων θεὸς τῆι ἐπιφοιτήσει τῶν γραμμάτων τοῦ θεοσεβεστάτου ἐπισκόπου Κελεστίνου

---

V, P [=hk], S, D [= mn], A, ΛιΛc [inde a 32]

1 ψήφου P   1/2 καὶ τύπον SDA τύπον VP   2 ἅγιος] ἄξιοσ S   καὶ ὁσιωτάτου SDA om. VP   3 θεοφιλεστάτους VP ὁσιωτάτουσ καὶ ἁγιωτάτουσ SDA   4 τόν² V om. PSDA   5 τήν² SDA om. VP   6/7 νεστορίω εἰς διόρθωσιν VP   8 διατρίψαντος D   9 διωρίαν V, in mg. προθεσμίαν   10 ἡμῶν om. P   11 ἐν αὐτῶ PS αὐτῶ DA om. V   12 om. P   13 ὁ εὐλαβέστατος om. P ὁ om SA   ἐπίσκοπος] πρεσβύτεροσ S   14 πλοὸς V πλοῦ PSDA   15 ἧπερ VPA ἡ γὰρ SD postulauerim ἧι περ ἡμέραι   τῶν εὐχῶν P om. VSDA   16 παραγέγονε D   17 ηὕραμεν P ηὕρομεν S   17/18 μεριμνῶντάσ τε SDA μεριμνῶντες δὲ VP   18 ὁ χσ̄ DA   20 κελεύση S   21 om P   22 ἐδ D   23 ταύτη SDA om. VP   24 πάππα D   ταῖς om. A   ἡμῶν V   26 ὅλης SDA om. VP   ἅγιος S   27 ἐπεὶ A   ἐσκυλμένον SDA καὶ σκυλμῶ VP   29 κελεύσατε DA   ἁγιωτάτου DA   πάππα D   30 ἔτι γε VP ἔτι τε S   αὐτῶν VP   32 ἐπίσκοπος om S   ἀγκύρων V

καὶ τῆι παρουσίαι τῆς ὑμῶν θεοσεβείας· τόν τε γὰρ ζῆλον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κελεστίνου ἐδείξατε καὶ τὴν περὶ τὴν εὐσεβῆ πίστιν σπουδήν. ἐπειδὴ δὲ καὶ τὰ πεπραγμένα ἐπεζήτησεν εὐλόγως καταμαθεῖν ἡ ὑμετέρα θεοσέβεια, ἐξ αὐτῶν τῶν πεπραγμένων ὑπομνημάτων ἐπὶ τῶι καθηιρημένωι Νεστορίωι πληροφορηθήσεται ὑμῶν ἡ εὐλάβεια τῆς τε ψήφου τὸ δίκαιον καὶ τῆς ἁγίας συνόδου τόν τε ζῆλον καὶ τὴν συμφωνίαν τῆς πίστεως, ἣν καὶ ὁ θεοσεβέστατος καὶ ἁγιώτατος ἐπίσκοπος Κελεστῖνος μεγάληι κηρύσσει τῆι φωνῆι, δηλαδὴ μετὰ τὴν ὑμῶν πληροφορίαν καὶ τῶν ὑπολοίπων τῆι πράξει τῆι νῦν προστιθεμένων.

25 Τοῖς μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν Φλαυίου Θεοδοσίου τὸ τρισκαιδέκατον καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ τρίτον τῶν αἰωνίων αὐγούστων τῆι πρὸ πέντε Εἰδῶν Ἰουλίων, ἥτις ἐστὶ κατ' Αἰγυπτίους Ἐπὶφ ιζ, L III 621 M IIII 1292 d. 11. m. Iul 431

τῆι ἐπαύριον τῆς αὐτῆς ἁγίας συνόδου συνελθούσης ἐν τῶι αὐτῶι τόπωι καὶ καθεσθέντων τῶν θεοφιλεστάτων καὶ θεοσεβεστάτων ἐπισκόπων, M IIII 1293

26 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων Ἀρκαδίωι καὶ Προιέκτωι εὐλαβεστάτοις ἐπισκόποις καὶ Φιλίππωι εὐλαβεστάτωι πρεσβυτέρωι εἶπε· Κατὰ τὴν χθὲς ἡμέραν συνεδρευούσης τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου ἡ θεοσέβεια ὑμῶν παροῦσα μετὰ τὴν ἀνάγνωσιν τῶν γραμμάτων τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου τῆς μεγάλης Ῥώμης Κελεστίνου ἤιτησε τὰ ὑπομνήματα τὰ πραχθέντα ἐπὶ τῆι καθαιρέσει τοῦ αἱρετικοῦ Νεστορίου ἀναγνωσθῆναι· ἀκολούθως ἡ ἁγία σύνοδος τοῦτο γενέσθαι ἐτύπωσεν. εἰ οὖν ἀνέγνω καὶ μεμάθηκε τὴν ἐν αὐτοῖς δύναμιν ἡ ὑμετέρα ἁγιότης, τοῦτο διδάξαι καταξιώσει.

〈Ἑρμηνεία τῆς καταθέσεως〉

27 Φίλιππος πρεσβύτερος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας εἶπε· Πεφανέρωται μὲν ἡμῖν ἀπὸ τῆς ἀναγνώσεως τῶν πεπραγμένων τὰ κατὰ Νεστορίου ὁρισθέντα ἐν τῶι ἁγίωι ὑμῶν συλλόγωι, ἐν οἷς ὑπομνήμασιν ἔγνωμεν πάντα κανονικῶς καὶ κατὰ τὴν ἐκκλησιαστικὴν ἐπιστήμην κεκρίσθαι· ἀλλὰ καὶ νῦν αἰτοῦμεν τὸν ὑμέτερον στέφανον, εἰ καὶ ἐκ περιττοῦ, τὰ αὐτὰ καὶ ἀναγνωσθέντα ἐν τῆι ὑμετέραι συνόδωι αὖθις ἡμῖν ἀναγνωσθῆναι, ὅπως ἡμεῖς ἀκολουθήσαντες τῶι τύπωι τοῦ ἁγιωτάτου πάπα Κελεστίνου τοῦ ταύτην ἡμῖν τὴν φροντίδα ἐγχειρίσαντος, ἔτι μὴν καὶ τῆς ὑμετέρας ἁγιωσύνης, δυνηθῶμεν τὰ κεκριμένα βεβαιῶσαι. L III 624

Ἑρμηνεία τῆς καταθέσεως

28 Ἀρκάδιος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας εἰπε· Χάριτας ὁμολογοῦμεν τῆι ὑμετέραι μακαριότητι ὅτι τῆι ἡμετέραι ἐπιθυμίαι καὶ τῆι αἰτήσει τὸ ἱκανὸν πεποίηκεν ἀπὸ τῶν πεπραγμένων, καὶ νῦν ὁριζάτω ἡ ὑμετέρα μακαριότης ὅπως ἀκολουθήσαντες τῶι τύπωι τῆς ὑμετέρας μακαριότητος διδαχθῆναι δυνηθῶμεν τὰ ὁρισθέντα παρ' ὑμῶν.

29 Μέμνων ἐπίσκοπος Ἐφεσίων εἶπεν· Οὐδὲν κωλύει κατὰ τὴν αἴτησιν τῶν ἁγιωτάτων καὶ ὁσιωτάτων ἐπισκόπων Ἀρκαδίου καὶ Προιέκτου καὶ τοῦ εὐλαβεστάτου καὶ θεοφιλεστάτου

---

V, P [= hk], S [usque ad 15 ἡμέραν], D [= mn, usque ad 15 ἡμέραν], A [usque ad 15 ἡμέραν], ΛtΛc [usque ad 8]

1/2 ὁσιωτάτου καὶ ἁγιωτάτου VP 2 ἐδέξατο P 4/5 ὑμῶν ἡ εὐλάβεια VPΛ ὑμῶν ἡ θεοσέβεια DA ἡ θεοσέβεια ὑμῶν S 5 τε om. V τε om. D 6 θεοσεβέστατος] θεοφιλέστατος καὶ θεοσεβέστατος P 9 ε̅δ̅ S πραξισ β̃ SD in mg. ὑμῶν V ι̅γ̅ DA 10 Φλαυίου om. SDA 10/11 ἰουνίων VPSDA 11 ἐπιφὶ ζ̅ S ἐπὶ φιζ̅ D ἐπιφὶ ἑβδόμη VPA 12/13 καὶ καθεσθέντων om. P 13 καὶ θεοσεβεστάτων VP καὶ ὁσιωτάτων DA om. S 14/15 εἶπεν ἀρκαδίω — πρεσβυτέρω V 15—p. 60, 16 συνεδρευούσης — προσδεξαμένου om. SDA 20 ἐν αὐτοῖσ V ἑαυτῆσ P 21 addidi 23 νεστόριον P 28 ἐγχειρήσαντοσ VP ἔτι γε V καὶ om. P 34 ἁγιότητοσ V 36 ἐφέσου P

πρεσβυτέρου Φιλίππου τῆς ἀποστολικῆς καθέδρας τῆς μεγάλης Ῥώμης καὶ δεύτερον πάλιν ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐπὶ τῆι καθαιρέσει Νεστορίου τοῦ αἱρετικοῦ· ὅθεν καὶ αὖθις ἀναγινωσκέσθω.

30 Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων ἀνέγνω

nr. 33 d. 22 m. Iun. 431 Τοῖς μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν Φλαυίου Θεοδοσίου τὸ τρισκαιδέκατον καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ τρίτον τῶν αἰωνίων αὐγούστων τῆι πρὸ δέκα Καλανδῶν Ἰουλίων, Παυνὶ εἰκάδι ὀγδόηι κατ' Αἰγυπτίους, συνόδου συγκροτηθείσης ἐν τῆι Ἐφεσίων μητροπόλει ἐκ θεσπίσματος τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων βασιλέων, καθεσθέντων ἐν τῆι ἁγιωτάτηι ἐκκλησίαι τῆι καλουμένηι Μαρίαι τῶν θεοσεβεστάτων καὶ θεοφιλεστάτων ἐπισκόπων Κυρίλλου Ἀλεξανδρείας, διέποντος καὶ τὸν τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Κελεστίνου, καὶ Ἰουβεναλίου Ἱεροσολύμων καὶ Μέμνονος τῆς Ἐφεσίων καὶ Φλαυιανοῦ Φιλίππων, ἐπέχοντος καὶ τὸν τόπον Ῥούφου τοῦ εὐλαβεστάτου ἐπισκόπου Θεσσαλ νικέων, καὶ Θεοδότου Ἀγκύρας Γαλατίας πρώτης καὶ τὰ ἑξῆς.
nr. 62 ἡ ἁγία σύνοδος εἶπε· Πρὸς τοῖς ἄλλοις μήτε ὑπακοῦσαι βουληθέντος τοῦ τιμιωτάτου Νεστορίου τῆι παρ' ἡμῶν κλήσει μήτε μὴν τοὺς παρ' ἡμῶν ἀποσταλέντας ἁγιωτάτους καὶ θεο-
M IIII 1296 φιλεστάτ υς ἐπισκόπους προσδεξαμένου, ἀναγκαίως ἐχωρήσαμεν ἐπὶ τὴν ἐξέτασιν τῶν δυσσεβηθέντων αὐτῶι καὶ φωράσαντες αὐτὸν ἔκ τε τῶν ἐπιστολῶν αὐτοῦ καὶ ἐκ τῶν συγγραμμάτων τῶν ἀναγνωσθέντων καὶ ἐκ τῶν ἀρτίως παρ' αὐτοῦ ῥηθέντων κατὰ τήνδε τὴν μητρόπολιν καὶ προσμαρτυρηθέντων δυσσεβῶς φρονοῦντα καὶ κηρύττοντα, ἀναγκαίως κινη-
ep. 10 θέντες ἀπό τε τῶν κανόνων καὶ ἐκ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ συλλειτουργοῦ Κελεστίνου τοῦ ἐπισκόπου τῆς Ρωμαίων ἐκκλησίας δακρύσαντες πολλάκις ἐπὶ ταύτην τὴν σκυθρωπὴν κατ' αὐτοῦ ἐχωρήσαμεν ἀπόφασιν. ὁ βλασφημηθεὶς τοίνυν παρ' αὐτοῦ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὥρισε διὰ τῆς παρούσης ἁγιωτάτης συνόδου ἀλλότριον εἶναι τὸν αὐτὸν Νεστόριον τοῦ τε ἐπισκοπικοῦ ἀξιώματος καὶ παντὸς συλλόγου ἱερατικοῦ. καὶ ἑξῆς αἱ ὑπογραφαὶ τῶν εὐλαβεστάτων ἐπισκόπων.

L III 625 Ἑρμηνεία τῆς καταθέσεως

31 Φίλιππος πρεσβύτερος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας εἶπεν· Οὐδενὶ ἀμφίβολόν ἐστι, μᾶλλον δὲ πᾶσι τοῖς αἰῶσιν ἐγνώσθη ὡς ὅτι ὁ ἅγιος καὶ μακαριώτατος Πέτρος, ὁ ἔξαρχος καὶ κεφαλὴ τῶν ἀποστόλων, ὁ κίων τῆς πίστεως, ὁ θεμέλιος τῆς καθολικῆς ἐκκλησίας, ἀπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος καὶ λυτρωτοῦ τοῦ γένους τοῦ ἀνθρωπίνου τὰς κλεῖς τῆς βασιλείας ἐδέξατο καὶ αὐτῶι δέδοται ἐξουσία τοῦ δεσμεύειν καὶ λύειν τὰς ἁμαρτίας, ὅστις ἕως τοῦ νῦν καὶ ἀεὶ ἐν τοῖς ἑαυτοῦ διαδόχοις καὶ ζῆι καὶ δικάζει. τούτου τοιγαροῦν κατὰ τάξιν ὁ διάδοχος καὶ τοποτηρητὴς ὁ ἅγιος καὶ μακαριώτατος πάπας ἡμῶν Κελεστῖνος ὁ ἐπίσκοπος εἰς ταύτην τὴν ἁγίαν σύνοδον διαδόχους ἡμᾶς τῆς ἑαυτοῦ παρουσίας ἀπέστειλεν, ἥντινα σύνοδον οἱ χριστιανικώτατοι καὶ φιλανθρωπότατοι βασιλεῖς [ὥρισαν] μνημονεύοντες καὶ εἰς τὸ διηνεκὲς φυλάττοντες τὴν καθολικὴν πίστιν, οἳ καὶ τὴν διδασκαλίαν τὴν ἀποστολικὴν τὴν ἀπὸ τῶν εὐσεβεστάτων καὶ φιλανθρωποτάτων

---

V, P [= hk,], S [inde ab 16 ἀναγκαίως], D [= mn, inde ab 16 ἀναγκαίως], A [inde ab 16 ἀναγκαίως]

3 ἀναγινωσκέσθωσαν V 4 πριμμικήριοσ VP 6 τὸ τρίτον om. V 7 πανὶ VP εἰκάδι καὶ P 13 καὶ τὰ P μετὰ τὰ V 14 μή P 16/17 δυσσεβηθέντων PSDA δυσσεβῶσ λεχθέντων V 17 αὐτῶ PS νεστορίω DA παρ' αὐτοῦ V τε om. A 18 τῶν καὶ ἀναγνωσθέντων SDA cf. nr. 62 19 πόλιν S κηρύσσοντα SDA 19/20 κινηθέντες] κατεπειχθέντες nr. 62 20 τῶν ἐπιστολῶν S 21 τοῦ om. S 22 σκυθρωπὸν V 24/25 καὶ ἑξῆς — ἐπισκόπων om. D 28 ὡς om. VP ὁ om. P 29 καὶ VP ἡ SDA 31 δεσμεῖν V 32 τὰς om. VP ἐν om. D αὐτοῦ V 33 ὁ om. S ὁ om. VP 34 πάππασ D 35 οἱ] ἡ P 36 ὥρισαν VA om. PSD μνήμονεσ ὄντεσ S οἱ μνημονευθέντεσ P οἳ VA ἡ PS om. D

τῆς ἁγίας μνήμης πάππων καὶ πατέρων ἑαυτῶν ἕως νῦν αὐτοῖς παραδεδομένην ἐφύλαξαν καὶ φυλάττουσι, φροντίζοντες τοίνυν, ὡς προειρήκαμεν, σύνοδον ὥρισαν, ἵνα ἡ πίστις ἡ καθολική, ἥτις ἀπὸ τῶν αἰώνων ἕως νῦν πεφύλακται, οὕτως καὶ εἰς τὸ διηνεκὲς ἀσάλευτος διαμένοι. Νεστόριος τοίνυν ὁ τῆς καινῆς διαστροφῆς ἀρχηγὸς καὶ κεφαλὴ τῶν κακῶν, κληθεὶς καὶ ὑπομνησθείς, καθὼς ἐκ τῶν πεπραγμένων συνοδικῶν ἡμῖν πεφανέρωται, κατὰ τοὺς τύπους τῶν πατέρων ἤτοι κατὰ τὴν τῶν κανόνων ἐπιστήμην εἰς τὴν δίκην ἐλθεῖν κατεφρόνησεν, ὃς αὐθαιρέτως ἑαυτὸν προσενεγκεῖν ὤφειλε τοσούτωι ἁγίωι συλλόγωι, ἵνα τῆι πνευματικῆι θεραπείαι τὴν ὑγείαν δέξηται, ἀλλὰ κεκαυτηριασμένην ἔχων τὴν συνείδησιν εἰς τὴν ἁγίαν σύνοδον ὑπομνησθείς, ὡς προείρηκα, κανονικῶς καὶ κατὰ τὴν τῶν κανόνων ἐπιστήμην παρεῖναι οὐκ ἠθέλησε, καὶ τὴν ὑπέρθεσιν δὲ οὐ μόνον τὴν ἀπὸ τῆς ἀποστολικῆς καθέδρας συγχωρηθεῖσαν, ἀλλὰ καὶ πολλὰ καιρῶν διαστήματα παρεληλυθέναι. ἀσφαλές ἐστι τοιγαροῦν [τὸ ἐξενεχθὲν κατ' ἐκείνου], ὅστις πνεύματι πολεμίωι καὶ στόματι ἀσεβεῖ κατὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐτόλμησεν ἐξενεγκεῖν βλασφημίαν, κατὰ τὸν τύπον πασῶν τῶν ἐκκλησιῶν, ἐπειδὴ συνεστήκασιν ἐν τούτωι τῶι ἱερατικῶι συλλόγωι διά τε τῶν παρόντων διά τε τῶν πρεσβευτῶν τῶν ἀπὸ τῆς Ἀνατολικῆς τε καὶ Δυτικῆς ἐκκλησίας, οἱ M III 1297 παρόντες ἱερεῖς διά τοι τοῦτο ἀκολουθήσαντες τοῖς τύποις τῶν πατέρων καὶ ἡ παροῦσα ἁγία σύνοδος ὥρισε κατὰ τοῦ βλασφήμου καὶ πρ πετοῦς προενεγκόντες ἀπόφασιν ὥστε τὸν μὴ αἰδεσθέντα τὴν διόρθωσιν μετ' ἐκείνου τὴν μερίδα ἔχειν περὶ οὗ εἴρηται· τὴν ἐπισκοπὴν αὐτοῦ λήψεται ἕτερος. ὅθεν γινωσκέτω Νεστόριος ἀλλότριον ἑαυτὸν Act. 1, 20 εἶναι τῆς κοινωνίας τῆς ἱερωσύνης τῆς καθολικῆς ἐκκλησίας.

## Ἑρμηνεία τῆς καταθέσεως

82 Ἀρκάδιος εὐλαβέστατος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας εἶπε· Πολυθρήνητος ἡμῖν καὶ δακρύων μεστὴ λύπη καὶ ἀνία ἀπὸ τοῦ τύπου τῆς ὑμετέρας ἱερωσύνης, καὶ Νεστόριος, ὃς παρασταθεὶς τοῖς γράμμασι τῆς ἀποστολικῆς καθέδρας, ἔτι μὴν ep. 10 καὶ τῆς ὑμετέρας μακαριότητος, ἀπὸ τοῦ φαύλου δόγματος καὶ τῆς κακοθελοῦς γνώμης πλανᾶσθαι βουλόμενος, ὡς καὶ ἡ ἀπόφασις ἡ κατ' αὐτοῦ ἐξενεχθεῖσα πεφανέρωται, ὃς μὴ L III 628 σκοπήσας ἑαυτῶι καιρὸν εἶναι διορθώσεως καὶ τὸν τύπον τῆς ἀποστολικῆς καθέδρας οὐκ ἐδέξατο ὑπόμνησίν τε καὶ προτροπήν, δι' ἧς ὑγιὴς γένηται, πάντων τῶν ἁγίων ἱερέων, (εἰς τοσαύτην γὰρ ἐλήλακεν ἀσέβειαν, ὥστε εἰς τὸν ποιητὴν καὶ λυτρωτὴν ἑαυτοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν καὶ σωτῆρα τοῦ γένους τοῦ ἀνθρωπίνου πλήρη βλασφημίας προενεγκεῖν διδασκαλίαν, ὥστε τὰς καλῶς κανονισθείσας καὶ θεῶι ἡρμοσμένας διανοίας τοῦ ἀνθρωπίνου γένους, ὥσπερ ὁ ὄφις ὁ ἀρχαῖος, ὀλισθήσας ὑπεισέλθοι, ἀμνημονήσας πρῶτον τῆς ἑαυτοῦ σωτηρίας καὶ τῆς αἰωνίου ζωῆς καὶ ἀγνωσίαν νοσήσας τῶν πατρικῶν

---

V, P [= hk], S, D [= mn], A

1 αὐτῶν V ἑαυτοῖσ VP 2 ἵνα] ὥστε P 4 κενῆσ VP 5 παραδέδοται SD 7 αὐθαιρέτω S τῶ τοσούτω SDA ἁγίω τούτω A 8 ὑγίειαν V κεκαυστηριασμένην SDA 9 ἁγίαν ταύτην D 10 ὡσ καὶ A ὑπόθεσιν S τὴν ἀπὸ om. PSD 11 καιρῶν πολλά VP 12 τὸ — ἐκείνου VA om. PSD πνευματικῶ SD 13 εἰσενεγκεῖν VP 14 ἱερῶ S 15—17 οἱ παρόντες — προενεγκόντες turbata a translatore 16 ἀκολουθήσαντεσ PSDA ἀκολουθήσασα V 17 προσενεγκόντεσ P προενεγκοῦσα A προσενέγκασα V 18 εἴρηται SDA γέγραπται VP 19 λάβοι S 22 ὁ εὐλαβέστατοσ PSD ἐπίσκοπος] πρεσβύτεροσ S 23 πολυθρύλλητοσ S ἀνίατοσ P ἀνομία S ἐπὶ A τοῦ om. P ἡμετέρασ VP 24 καὶ νεστόριοσ SDA (referendum esse uidetur ad p. 62, 8 γινωσκέτω) καὶ νεστορίου V κατὰ νεστορίου P ὃσ VPSD ὡσ A τοῖς om. V ἔτι γε V 26 ὡς om. P ἡ[2] om. S ὃς turbat constructionem 27 καὶ VSDA κατὰ P emendatione infelici 28 τε om. VP 29 γὰρ ἐλήλακεν] παρελήλακεν S λυτρωτὴν τὸν V αὐτοῦ P 30 ῑν̄ χ̄ν̄ P 31 προσενεγκεῖν P προσενεγκεῖν ἐτόλμησε SDA 32 ὡσ V ὁ ἀρχαῖοσ ὄφισ P ὑπεισελθεῖν V ὑπεισελθεῖν ὃσ A

παραδόσεων, ἀμνημονήσας δὲ καὶ τοῦ κηρύγματος τῶν προφητῶν, ἔτι μὴν καὶ τῶν εὐαγγελιστῶν καὶ τῆς διδασκαλίας τῶν ἀποστόλων αὐτὸς ἑαυτὸν τῆι ἰδίαι ἀπιστίαι κατεκρήμνισε) καὶ ἐπειδὴ αὐτὸς ἑαυτὸν διὰ τῆς οἰκείας γνώμης ἀλλότριον ἡμῶν καὶ ἐξόριστον πεποίηκε, διὰ τοῦτο καὶ ἡμεῖς ἀκολουθοῦντες τοῖς ὅροις τοῖς ἄνωθεν ἀπὸ τῶν ἁγίων ἀποστόλων καὶ τῆς καθολικῆς ἐκκλησίας παραδοθεῖσιν, ἐπειδὴ τοῦτο ἐδίδαξαν ὃ καὶ παρὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰλήφασιν, ἀκολουθήσαντες δὲ καὶ τοῖς τύποις τοῦ ἁγιωτάτου πάπα τῆς ἀποστολικῆς καθέδρας Κελεστίνου, ὃς ἡμᾶς ἐδικαίωσε ταύτηι τῆι ὑποθέσει [καὶ] ἐκβιβαστὰς ἑαυτοῦ ἐξαποστεῖλαι, καὶ τῆς ἁγίας ταύτης συνόδου τοῖς δόγμασι, γινωσκέτω ἑαυτὸν Νεστόριος τῆς ἀξίας τῆς ἐπισκοπικῆς γεγυμνῶσθαι καὶ ἀλλότριον ἑαυτὸν πάσης ἐκκλησίας καθολικῆς καὶ κοινωνίας πάντων τῶν ἱερέων.

Ἑρμηνεία τῆς καταθέσεως

33 Προϊέκτος ἐπίσκοπος, ληγάτος καὶ πρεσβευτὴς τῆς ἐκκλησίας Ῥωμαίων, εἶπε· Πάνυ φανερῶς ἀπὸ τῆς ἀναγνώσεως τῶν πεπραγμένων ἐν ταύτηι τῆι ἁγίαι καὶ θεοφιλεστάτηι συνόδωι τῶν τοσούτων καὶ τηλικούτων τοῦ θεοῦ ἱερέων ἐγνώσθη Νεστόριος, ὥς τις ἀχάριστος, τοσαύτης τυχὼν ἀνεξικακίας ἀπό τε τ ῦ ἁγίου πάπα Κελεστίνου τοῦ τῆς ἁγίας καὶ ἀποστολικῆς καθέδρας τῆς Ῥωμαίων πόλεως ἐπισκόπου, οὐ μὴν ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων εὐλαβεστάτων πατέρων καὶ ἀδελφῶν τοῦ κυρίου ἐπισκόπων, ἐπ' ὀλέθρωι ἰδίωι τὴν M IIII 1300 ἀποστασίαν καὶ τὴν βλασφημίαν ἐπικεχειρηκέναι, ὅθεν ἐπειδὴ ἐτόλμησε κατὰ τῆς πίστεως τῆς εὐαγγελικῆς καὶ τῆς ἀποστολικῆς διδασκαλίας, ἥτις διὰ τῆς ἁπανταχοῦ καθολικῆς ἐκκλησίας ἐβεβαιώθη, τὴν διαστροφὴν τῆς ἑαυτοῦ αἱρέσεως εἰσενεγκεῖν, διὸ δὴ ταῦτα κἀγὼ ὁρίζω ἐξ αὐθεντίας, τῆς ἁγίας ἀποστολικῆς καθέδρας πρεσβείαι μετὰ τῶν ἀδελφῶν τῆς ἀποφάσεως ἐκβιβαστὴς ὑπάρχων, τὸν μνημονευθέντα Νεστόριον, τὸν τῆς ἀληθείας ἐχθρόν, τὸν φθορέα τῆς πίστεως, ὡσανεὶ τούτων ὑπεύθυνον, ἐκτὸς τοῦ βαθμοῦ εἶναι τῆς ἐπισκοπικῆς τιμῆς καὶ τῆς κοινωνίας πάντων τῶν ὀρθοδόξων ἱερέων.

34 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Αἱ καταθέσεις αἱ γεγενημέναι παρὰ τῶν ὁσιωτάτων καὶ θεοσεβεστάτων ἐπισκόπων Ἀρκαδίου καὶ Προϊέκτου, ἔτι μὴν καὶ τοῦ θεοσεβεστάτου Φιλίππου τοῦ πρεσβυτέρου δῆλαι τῆι ἁγίαι συνόδωι καθεστήκασι. κατέθεντο γὰρ τὸν τόπον ἀναπληροῦντες τῆς ἀποστολικῆς καθέδρας, καὶ ἁπάσης δὲ τῆς κατὰ τὴν Δύσιν ἁγίας συνόδου τῶν θεοφιλεστάτων καὶ ἁγιωτάτων ἐπισκόπων· ὅθεν καὶ τὰ ἤδη ὁρισθέντα L III 629 παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κελεστίνου ἐξεβίβασαν, συνήινεσαν δὲ καὶ τῆι ψήφωι τῆι ἐξενεχθείσηι κατὰ τοῦ αἱρετικοῦ Νεστορίου παρὰ τῆς ἁγίας συνόδου τῆς συναχθείσης ἐνθάδε κατὰ τὴν Ἐφεσίων μητρόπολιν. διὸ συναπτέσθω μὲν τοῖς ἤδη πεπραγμένοις τὰ κατὰ τὴν χθὲς καὶ σήμερον πραχθέντα ὑπομνήματα, προσαγέσθω δὲ τῆι θεοσεβείαι αὐτῶν, ὥστε καὶ ἰδίαι ὑποσημειώσει κατὰ τὸ σύνηθες φανερὰν καταστῆσαι τὴν πρὸς ἅπαντας ἡμᾶς κανονικὴν συναίνεσιν.

---

V, P [= hk], S, D [= mn], A

ἔτι γε V  1/2 εὐαγγελιστῶν — ἀποστόλων] ἀποστολικῶν καὶ εὐαγγελικῶν παραδόσεων V  2 πίστει D  4 ὑπὸ P  5 τοῦτο om. D  ἐδίδαξεν S  6 πάπα [πάππα D] καὶ μακαριωτάτου SDA  7 καὶ om. SDA  8 ἐξαπέστειλε VP  ταύτης om. VP  9 ἐπισκοπῆσ VP  9/10 καὶ ἀλλότριον — καθολικῆς om. S  10 τῶν om. A  12 ληγάτου S  πρεσβύτεροσ S  14/15 ὅστισ ἀχαρίστωσ PSD  15 πάππα D  17/18 τῆ ἀποστασία καὶ τῆ βλασφημία A  ἀποστασίαν SD ἀπιστίαν VP  καὶ βλασφημίαν P  19 καὶ τῆς ἀποστολικῆς om. S  20 malim διά  δὴ ταῦτα SD δῆτα V δὴ PA  21 γνωρίζω P  21 τῆσ ἁγίασ καὶ P om. SDA  πρεσβείασ VA πρεσβευτῆσ P  καὶ τῆσ P  23 τοῦτον VP  25 αἱ καταθέσεισ αἱ γενόμεναι A  αἱ γενόμεναι καταθέσεισ SD  τε τῶν VP  26 ἔτι γε V  26/27 θεοφιλεστάτου S  27 πρεσβυτέρου φιλίππου VP  28 ἀποπληροῦντεσ VP  τῆσ τε A  31 καὶ om. S  κατὰ] παρὰ S  32 τὴν τῶν P  διὸ καὶ P om. A  συναπτέσθω οὖν A συναπτέσθωσαν VP  33 κατά τε P  34 καταστήσασ S  35 ἡμᾶσ ἅπαντασ S  παραίνεσιν P

Ἑρμηνεία τῆς καταθέσεως

35 Ἀρκάδιος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς Ῥωμαίων ἐκκλησίας εἶπε· Κατὰ τὰ πεπραγμένα ἐν ταύτηι τῆι ἁγίαι συνόδωι ἀναγκαίως τὰς ἑαυτῶν διδασκαλίας ταῖς ἑαυτῶν ὑπογραφαῖς βεβαιοῦμεν.

36 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀκολούθως διαλαλησάντων τῶν εὐλαβεστάτων καὶ θεοσεβεστάτων ἐπισκόπων καὶ πρεσβευτῶν Ἀρκαδίου καὶ Προιέκτου καὶ Φιλίππου τοῦ πρεσβυτέρου καὶ πρεσβευτοῦ τῆς ἀποστολικῆς καθέδρας, ἑπόμενόν ἐστι τῆι οἰκείαι ὑποσχέσει τὸ ἱκανὸν ποιοῦντας καὶ διὰ ὑποσημειώσεως βεβαιῶσαι τὰ πεπραγμένα. προσαγέσθω τοίνυν αὐτοῖς τὰ πραχθέντα ὑπομνήματα.

Ἑρμηνεία τῆς ὑπογραφῆς

37 Φίλιππος πρεσβύτερος καὶ πρεσβευτὴς τῆς ἀπ στολικῆς καθέδρας τοῖς ὑπομνήμασιν ὑπέγραψα.

Ἑρμηνεία τῆς ὑπογραφῆς

38 Ἀρκάδιος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας τῆι ἐξενεχθείσηι ἀποφάσει κατὰ Νεστορίου τοῦ αὐθέντου τοῦ σχίσματος καὶ αἱρέσεως ἁπάσης βλασφημίας καὶ ἀσεβείας ὑπέγραψα.

Ἑρμηνεία τῆς ὑπογραφῆς

39 Προιέκτος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας τῆι δικαίαι κρίσει τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου, καθὼς ἐκ τῶν πεπραγμένων ἐμάθομεν, κατὰ πάντα ἐξακολουθῶν τῆι καθαιρέσει τοῦ ἀσεβοῦς Νεστορίου ὑπέγραψα.

107 = S 65 A 43. Latina uersio extat in Collectione CT 63

Ἴσον ἀναφορᾶς πρὸς τοὺς εὐσεβεῖς βασιλεῖς παρὰ τῆς ἁγίας συνόδου περὶ τῶν ἀπὸ Ῥώμης ἐλθόντων ἐπισκόπων τε καὶ πρεσβυτέρου διὰ τοῦ διακόνου Εὐτυχοῦς M IIII 1301

Τοῖς εὐσεβεστάτοις καὶ θεοφιλεστάτοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι νικηταῖς τροπαιούχοις ἀεὶ αὐγούστοις ἡ ἁγία σύνοδος ἡ χάριτι θεοῦ καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῆι Ἐφεσίων μητροπόλει. Τὴν περὶ τὴν εὐσέβειαν ὑμῶν φροντίδα τε καὶ σπουδήν, φιλόχριστοι βασιλεῖς, ἀποδεξάμενος ὁ τῶν ὅλων θεὸς καὶ τῶν ἁγίων ἐπισκόπων τῶν κατὰ τὴν Δύσιν τῶι ζήλωι τὰς ψυχὰς ἀνεπτέρωσεν εἰς ἐκδίκησιν τοῦ ὑβρισμένου Χριστοῦ. εἰ γὰρ καὶ τὸ πλεῖστον τῆς ὁδοῦ διάστημα φθάσαι πρὸς ἡμᾶς εἶρξε πᾶν τὸ πλῆθος ἐκεῖνο τῶν ἁγιωτάτων ἐπισκόπων, ἀλλ' αὐτόθι συναχθέντες, παρόντος καὶ τοῦ τῆς μεγάλης Ῥώμης ὁσιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κελεστίνου, καὶ νῦν τὸ ἡμέτερον φρόνημα τῆς πίστεως μετὰ πολλῆς ἀνεκήρυξαν τῆς συμφωνίας καὶ τοὺς ἔξω τούτου φρο-

---

V, P [= hk], S, D [= mn], A

1 ὑπογραφῆσ VPDA 3 τοῖσ — διδασκάλοισ P 5/6 θεοφιλεστάτων P 6 πρεσβυτέρων S τοῦ om. P 8 σημειώσεωσ P 9 πεπραγμένα VP 10 καταθέσεωσ S 13 om. V 15 αὐθεντοσχίσματοσ P σχίματοσ m σχήματοσ n βλασφήμου P καὶ βλασφημίασ S 17 om. V τῆσ Pm ἑτέρα τῆσ Sn ἑτέρασ A 18—20 τῆι δικαίαι — Νεστορίου] τοῖσ πεπραγμένοισ VP

V, P [= hk] S, D [= mn], AWΛtΛc

22/23 om. Λ ρζ V ϛη P ξε SD 22 εὐσεβεστάτουσ VPW βασιλέασ VA παρὰ — συνόδου om. VP 23 ἐλθόντων om. VP τε καὶ πρεσβυτέρων PSDW καὶ πρεσβευτῶν V 24 εὐλαβεστάτοισ SW 25 χ̄ῡ VPΛ 26 ὑμῶν om. P 28 τὴν om. VD ἀνεπύρωσεν P 29 *domini Christi* Λ παρ' P 31 ὑμέτερον P 32 τούτων DA

I. III 632 νήσαντας ἀλλοτρίους εἶναι παντελῶς ὥρισαν ἱερατικοῦ κλήρου καὶ βαθμοῦ. ταῦτα μὲν
δὴ καὶ πρότερον καὶ ὁ τῆς μεγάλης Ῥώμης ἁγιώτατος ἐπίσκοπος Κελεστῖνος, πρὶν συλλε-
ep. 9 γῆναι τὴν ἁγιωτάτην ταύτην σύνοδον, διὰ τῶν ἑαυτοῦ γραμμάτων ἐμήνυσεν, ἐπιτρέψας
τῶι ἁγιωτάτωι καὶ θεοφιλεστάτωι ἐπισκόπωι Κυρίλλωι τῶι τῆς Ἀλεξανδρέων μεγαλοπόλεως
ep. 106 καὶ τὸν αὐτοῦ ἐπέχειν τόπον, καὶ νῦν δὲ αὖθις δι' ἑτέρων γραμμάτων ταῦτα δῆλα τῆι ἁγίαι
συνόδωι κατέστησεν, ἣν συναχθῆναι τὸ ὑμέτερον προσέταξε κράτος ἐπὶ τῆς Ἐφεσίων μη-
τροπόλεως, ἃ καὶ ἀπέστειλε διά τε τῶν ἁγιωτάτων ἐπισκόπων Ἀρκαδίου καὶ Προιέκτου
καὶ τοῦ θεοφιλεστάτου πρεσβυτέρου Φιλίππου τοῦ τῆς μεγάλης Ῥώμης, ἀναπληροῦντος τὴν
παρουσίαν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κελεστίνου. ἐπεὶ οὖν οἱ ἄνδρες
παραγενόμενοι τὴν γνώμην πάσης τῆς κατὰ τὴν Δύσιν ἁγίας συνόδου φανερὰν τῆι ἐνταῦθα
γενομένηι συνόδωι πεποιήκασι διὰ τῶν γραμμάτων σύμφωνόν τε ἡμῖν τὸ φρόνημα τῆς
πίστεως καὶ τῆς εὐσεβείας ἔδειξαν καὶ ἡμῖν ὁμόψηφοι διά τε τῶν ἐπιστολῶν καὶ τῶν ἐν-
τεταλμένων αὐτοῖς, ἃ καὶ ἐγγράφως κατέθεντο, γεγένηνται, ἀναγκαίως καὶ περὶ τῆς αὐτῶν
πρὸς ἡμᾶς συμφωνίας πράξαντες τὰ εἰκότα ἐπὶ τὸ ὑμέτερον ἀνηνέγκαμεν κράτος, ὡς εἰδέναι
ἔχοι ἡ ὑμῶν εὐσέβεια ὅτι μία καὶ κοινὴ ψῆφος ἁπάσης τῆς οἰκουμένης ἡ παρ' ἡμῶν ἔναγχος
ἐξενεχθεῖσα κρίσις γεγένηται, ἣν ἀναδιδαχθῆναι καὶ φανερὰν γενέσθαι ὁ περὶ τὴν πίστιν καὶ
τὴν εὐσέβειαν ὑμῶν ζῆλος παρεσκεύασεν. ἐπεὶ οὖν τὰ τῆς ὑποθέσεως πέρας εἴληφεν
εὐκταῖόν τε τῶι ὑμετέρωι κράτει καὶ ταῖς ἐκκλησίαις ἁπάσαις ἀσφαλέστατον καὶ τῆι πίστει
παρέχον τὸ βέβαιον, δεόμεθα τῆς ὑμῶν εὐσεβείας ἀνεῖναι λοιπὸν ἡμᾶς τῆς τε φροντίδος
καὶ τῆς ἐν τῆι ξένηι διαγωγῆς, τοὺς μὲν πενίαι σφιγγομένους, τοὺς δὲ νόσωι συνεχομένους,
τοὺς δὲ τῶι γήραι καμπτομένους καὶ τὴν ἐπὶ τῆς ξένης διατριβὴν ἐπὶ πλέον φέρειν οὐ δυνα-
μένους, ὡς καὶ τινὰς ἐξ ἡμῶν ἐπισκόπους καὶ κληρικοὺς ἀποθανεῖν, ὥστε λοιπὸν παυσα-
μένους τῆς τοιαύτης μερίμνης φροντίδα τῆς κατὰ τὴν μεγαλόπολιν ἐκκλησίας ποιήσασθαι.
M IIII 1304 κωλύεσθαι δὲ καθικετεύομεν καὶ τὰ πρὸς τοὺς κατὰ τόπον ἄρχοντας ἠπειλημένα γράμματα
ep. 83 πέμπεσθαι, ὡς μή τινα πάλιν ἑτέραν δυσχέρειαν ἐντεθῆναι ταῖς ἐκκλησίαις ἢ θλῖψιν ἐπα-
ναστῆναι ἐν ταῖς ἑαυτῶν χώραις τοῖς ἁγιωτάτοις ἐπισκόποις. τῆς γὰρ εὐσεβείας ἀνα-
δειχθείσης καὶ πάσης τῆς οἰκουμένης σύμφωνον ἐπ' αὐτῆι τὴν ψῆφον ἐξενεγκούσης, πλὴν
ὀλίγων τῶν τῆς εὐσεβείας προτιμώντων τὴν Νεστορίου φιλίαν, δικαίαν αἰτοῦμεν χάριν
δεόμενοι τοῦ ὑμετέρου κράτους ἀνεθῆναι λοιπὸν ἡμᾶς τῆς φροντίδος καὶ ἔχεσθαι τῆς χειρο-
τονίας τοῦ μέλλοντος καὶ ἐντρυφῆσαι λοιπὸν τῆι βεβαιωθείσηι πίστει τε καὶ εὐσεβείαι καὶ
καθαρῶς καὶ εἰλικρινῶς τὰς ὑπὲρ τοῦ ὑμετέρου κράτους ἀναπέμπειν προσευχὰς τῶι δεσπό-
τηι τῶν ὅλων Χριστῶι.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας ἀνήνεγκα.

Καὶ ὑπέγραψαν πάντες οἱ ἐν τῆι στάσει τῶν ὑπομνημάτων εὐλαβέστατοι ἐπίσκοποι.

---

V, P [= hk], S, D [= mn], AWΛ[t]Λ[c]

1 ἱερατικοῦ SDAWΛ παντὸσ ἱερατικοῦ VP   2 καὶ πρὶν SDAW   4 ἀλεξανδρείασ A μεγαλουπόλεωσ D μητροπόλεωσ P   5 ἑαυτοῦ S   6 ἣν] οἷσ VP   ἡμέτερον nA, corr. A κράτοσ προσέταξεν VPS   6/7 τῆ — μητροπόλει P   8 ἀναπληροῦντοσ PSDWΛ ἀναπληρούντων VA   10 τὴν om. VDA   11/12 τῆσ πίστεωσ — εὐσεβείασ SDAW τῆσ εὐσεβείασ — πίστεωσ PΛ καὶ τῆσ εὐσεβείασ — πίστεωσ V   12 ἔδειξε P   ὁμόψυχοι V *unanimes* Λ   13 γεγενῆσθαι P γεγένηται S   αὐτῶν] εἰσ αὐτὸν S   16 ἀναχθῆναι P ἀναδιδαχθῆναι τοῖσ πᾶσι W   18 ταῖς om. P   19 τὸ βέβαιον παρέχον VP   παρέχων S   20 τῆι om. S   21 τοὺς δὲ τῶι — καμπτομένους om. V   21 γήρει SW   ὡσ καὶ A   τῆς om. SDAW   πλεῖον VP   22/23 ὡς καὶ — μερίμνης] καὶ V   22 ὡς — τινάς om. A   23 καὶ φροντίδα P   24 τὸν τόπον Λ   ἄρχοντας om. SW   25 πάλιν τινὰ SDAW   ἐντεθῆναι VPΛ γίνεσθαι SDAW   27 ἐπ' αὐτῆ VPΛ ἐπὶ ταύτη SDAW   τὴν om. V   ἐνεγκεῖν P   28 νεστορίου VPΛ πρὸσ νεστόριον SDAW   29 ἡμᾶς om. P   post φροντίδος add. *et unumquemque suam comprehendere ciuitatem* Λ[c]   ἔχεσθαι λοιπὸν P   30 τε om. P   31 καθαρῶς] καθεῖσθαι V   33/34 om. S   34 καὶ — ἐπίσκοποι] *Iuuenalis episcopus Hierosolymorum rettuli. Firmus episcopus Caesariae rettuli. et omnis quoque synodus rettulit* Λ   ὑπέγραψαν] ὑπέγραψα καὶ P   στάσει DAW τάξει VP   ὑπομνήσεων W   εὐλαβέστατοι ἐπίσκοποι om. VP

**108** = S 114 A 59. Latinae uersiones extant in Collectionibus CT 61 et Winteriana 12

Ἀναφορὰ πρὸς τοὺς βασιλεῖς σταλεῖσα διὰ Ἰουβεναλίου Φίρμου Φλαβιανοῦ Ἀρκαδίου Θεοδότου Ἀκακίου Εὐοπτίου τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ Φιλίππου τοῦ εὐλαβεστάτου πρεσβυτέρου [L III 781 / M IIII 1460]

Τοῖς εὐσεβεστάτοις καὶ θεοφιλεστάτοις καὶ φιλοχρίστοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι νικηταῖς τροπαιούχοις ἀεὶ αὐγούστοις ἡ ἁγία σύνοδος ἡ κατὰ θεοῦ χάριν καὶ θέσπισμα τοῦ ὑμετέρου κράτους ἐν τῆι Ἐφεσίων συγκροτηθεῖσα. Πάντα μὲν τὰ τῆς ὑμετέρας [L III 784] βασιλείας ἐπαινετὰ καὶ πολὺν τὸν περὶ τὴν εὐσέβειαν ἐπιδεικνύμενα ζῆλον, φιλόχριστοι βασιλεῖς, καὶ διὰ τοῦτο κοινῆι τε ἅπαντες καὶ ἰδίαι ἕκαστος τὰς ὑπὲρ τοῦ αἰωνίου ὑμῶν κράτους προσευχὰς τῶι δεσπότηι Χριστῶι ἀναπέμπομεν, φυλαχθῆναι τῆι οἰκουμένηι δι' αἰῶνος τὴν φιλόχριστον ὑμῶν αἰτούμενοι κορυφήν· ἐπειδὴ δὲ καὶ νῦν ταῖς ἡμετέραις ἐπικαμφθεῖσα δεήσεσιν ἡ ὑμετέρα εὐσέβεια παρεκελεύσατο διὰ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου κόμητος Ἰωάννου ἐξαποστεῖλαι τὴν οἰκουμενικὴν ἡμῶν σύνοδον οὓς ἂν δοκιμάσηι θεοφιλεστάτους ἐπισκόπους πρὸς τὸ ὑμέτεραν κράτος καὶ αὐτοπροσώπως ἀναδιδάξαι πάντα τὰ καθ' ἡμᾶς, ἀναγκαίως εὐχαριστήσαντες τῆι φιλοχρίστωι ὑμῶν βασιλείαι ἐξελεξάμεθα τοὺς ἁγιωτάτους καὶ θεοφιλεστάτους ἐπισκόπους Ἀρκάδιον Ἰουβενάλιον Φλαβιανὸν Φίρμον Θεόδοτον Ἀκάκιον Εὐόπτιον καὶ Φίλιππον πρεσβύτερον Ῥώμης, διέποντα τὸν τόπον τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου τῆς ἀποστολικῆς καθέδρας τοῦ τῆς μεγάλης Ῥώμης Κελεστίνου καὶ διὰ τούτων τῶν γραμμάτων προσάγομεν αὐτοὺς τῆι ὑμετέραι γαληνότητι, εὐμενοῦς ἀξιοῦντες βλέμματός τε αὐτοὺς καὶ ἀκοῆς τυχεῖν. εἰδότες δὲ τὴν φιλόχριστον ὑμῶν καὶ θεῶι ἀνακειμένην ψυχὴν περὶ πολλοῦ ποιουμένην θεραπεύειν τὸν ὑπερμαχοῦντα καὶ σώιζοντα ὑμᾶς Χριστὸν καὶ τοὺς αὐτοῦ ἱερεῖς διὰ πάντων τιμᾶν διὰ τὸ παρ' αὐτοῦ εἰρημένον ὁ ὑ μ ῶ ν ἀ κ ο ύ ω ν ἐ μ ο ῦ ἀ κ ο ύ ε ι κ α ὶ ὁ ὑ μ ᾶ ς δ ε χ ό μ ε ν ο ς ἐ μ ὲ δ έ χ ε τ α ι, θαρροῦμεν [Lc. 10, 16 / Mt. 10, 40] καὶ τὴν περὶ ὧν λελυπήμεθα, προστιθέναι τῶι γράμματι μήνυσιν. ἡμεῖς γὰρ οὐκ ἄλλου τινὸς χάριν τὴν Ἐφεσίων κατειληφότες ἢ περὶ τῆς πίστεως διασκέψασθαι κατὰ τὸ ὑμέτερον εὐσεβὲς θέσπισμα, ἐπειδήπερ τὴν ταύτης ἀκίνητον ἐξ αἰῶνος γαλήνην τὰ μιαρὰ Νεστορίου [M IIII 1461] ἐτάραξε δόγματα, εἰκότως βουλὴν περὶ τούτου προθέντες μετὰ ἑξκαιδεκάτην ἡμέραν τῆς [d 22 m Iun 431] ὁρισθείσης προθεσμίας καὶ τὸν συνταράττοντα τὰς ἐκκλησίας τοῖς οἰκείοις δόγμασι Νεστόριον προσκαλεσάμενοι, ἐπειδήπερ ὑπὸ συνειδότος οὗτος πονηροῦ κατεχόμενος ἀπαντᾶν οὐκ ἠβούλετο, ἐξετάσαντες τὰ παρ' αὐτοῦ ἐγγράφως ἐκτεθέντα περὶ τῆς ἐνσωματώσεως τοῦ δεσπότου Χριστοῦ ἀσεβῆ δόγματα, αὐτά τε ἐκεῖνα ἀνεθεματίσαμεν καὶ τὸν τούτων πατέρα πάντηι τῆς ἐπισκοπικῆς ἀξίας ἠλλοτριώσαμεν. ἀλλ' ὁ τῆς Ἀντιοχέων Ἰωάννης μετὰ εἰκο-

---

32 dies concilii quo Cyrillus et Memnon depositi sunt, in Gestis quae insunt Collectioni Casinensi [uol. IIII p. 33, 35] 87 notatus est VI Kal. Iul [d 26. m Iunii]

---

VM, P [= hk], S, D [= mn], AΛtΛcΛw

ρη̅ V ϛθ P ρθ' D 2—4 *Relatio missa a synodo imperatori per supra dictos* [A 58 = V 95] *et destinatos episcopos* Λtc *Relatio synodi missa cum praedictis episcopis et locum tenente papae ad reges* Λw 2 ἀναφορὰ — σταλεῖσα A ἀντίγραφον ἀναφορᾶσ παρὰ τῆσ [τῆσ ἁγίασ SD] συνόδου VMPSD 3 τῶν θεοφιλεστάτων A om. VMPSD ἐπισκόπου SD τοῦ εὐλαβεστάτου A om VMPSD 4 in fine add. εἰσ οὓσ καὶ τὸ προτεταγμένον [A 58 = V 95] ἐντολικὸν γεγένηται A 5 καὶ θεοφιλεστάτοις om. SD φιλοχρίστοισ AΛtcw φιλοχρίστοισ βασιλεῦσι VMPSD 7 συγκροτηθεῖσα ἐν τῆ ἐφεσίων μητροπόλει SD πάντα — τὰ] πάντα τὰ μὲν k πάντα μὲν Mh 9 τε om P 10 τῶ — χω̅ προσευχὰσ P 11 ὑμετέραισ D 13 ἡμῶν AΛtc *uestra* Λw om VMPSD 14 ἀπὸ προσώπου S 17 εὐόπιον V 20 καὶ ἀκοῆσ αὐτοὺσ SD 21 ποιούμενον S 22 ἡμᾶσ P 23 ἀκούων ὑμῶν SD 26 ἐπειδὴ περὶ S ταύτην S 27 γράμματα, superscr δογματα V βουλὴν περὶ τούτου βουλῆ P τούτων SD προστιθέντεσ P 28/29 νεστόριον τοῖσ οἰκείοισ δόγμασι SD 29 ἐπειδήπερ AΛtc ἐπειδὴ δὲ VMPSD 32 πάντη τε S ἐπισκοπικῆς ἀξίας] ἐπισκοπῆσ M ἠλλοτριώσαμεν A ἐξεώσαμεν SD 32/p 66, 1 εἰκοστὴν om. D

στὴν [δευτέραν] τῆς ὁρισθείσης προθεσμίας μόλις φθάσας ἡμέραν, ὥσπερ ἀμυνόμενος ἡμᾶς
ἐπὶ τῶι ὑπὲρ τῆς πίστεως ζήλωι, τριάκοντα μικρῶι πλέον περὶ αὐτὸν συναθροίσας, ὧν οἱ
μὲν Κελεστιανοί, οἱ δὲ καθῃρημένοι πρὸ πολλοῦ ἐτύγχανον, κατ' αὐτῶν τῶν ἡμετέρων
ἐχώρησε προέδρων καὶ τοὺς ζηλωτὰς τῆς ὀρθοδοξίας τόν τε ἁγιώτατον καὶ θεοσεβέστατον
ἀρχιεπίσκοπον τῆς Ἀλεξανδρέων Κύριλλον καὶ τὸν ἁγιώτατον καὶ θεοφιλέστατον συνεπίσκοπον
Μέμνονα οὔτε κατηγορηθέντας παρ' αὐτῶν οὔτε προσκληθέντας κατὰ τὴν τῶν κανόνων
ἀκολουθίαν τῆι τῆς καθαιρέσεως περιέβαλεν ὕβρει καὶ ὡς κοινωνησάσης αὐτῶι τῆς ἁγίας
L III 785 καὶ οἰκουμενικῆς συνόδου εἰς τὴν κατ' αὐτῶν ἀδικίαν, οὕτως τὰς εὐσεβεῖς ὑμῶν καὶ θεο-
ep. 153. 158 φιλεῖς συνήρπασεν ἀκοάς. ἡ μὲν οὖν ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἧι συνεδρεύει καὶ
ὁ τῆς μεγάλης ὑμῶν Ῥώμης ἁγιώτατος καὶ θεοφιλέστατος ἀρχιεπίσκοπος Κελεστῖνος καὶ
ἅπασα ἡ Δυτικὴ σύνοδος διὰ τῶν παρ' αὐτῆς ἀπεσταλμένων πρὸς ἡμᾶς ἁγίων ἐπισκόπων,
συνεδρεύει δὲ καὶ ἡ Ἀφρικὴ πᾶσα καὶ τὸ Ἰλλυρικόν, κανονικῶς κινηθεῖσα αὐτόν τε τὸν
ἔξαρχον τοῦ τῆς ἀποστασίας συνεδρίου Ἰωάννην καὶ τοὺς σὺν αὐτῶι πάσης ἐκκλησιαστικῆς
κοινωνίας ἀλλοτρίους εἶναι ἐδογμάτισεν, πᾶσαν δὲ αὐτῶν ἱερατικὴν περιεῖλεν ἐνέργειαν,
ἀνατρέψασα καὶ τὰ παρ' αὐτῶν ἀκανονίστως γενόμενα. καὶ τῶν ἐπ' αὐτοῖς πεπραγμέ-
ep. 92. 102 νων τὴν μήνυσιν τῆι ὑμετέραι πρώην ἀπεστείλαμεν κορυφῆι· νυνὶ δὲ διά τε τούτων τῶν
γραμμάτων καὶ διὰ τῶν ἀποσταλέντων θεοφιλεστάτων ἐπισκόπων μακραῖς ταῖς χερσὶ τῶν
εὐσεβῶν ὑμῶν ἁπτόμεθα γονάτων δεόμενοι τὰ [μὲν] κατὰ συναρπαγὴν γεγονότα ἐπὶ τῶν ἁγιω-
τάτων καὶ θεοφιλεστάτων ἐπισκόπων Κυρίλλου καὶ Μέμνονος οὐδεμίαν ἐκ τῶν κανόνων
ἰσχὺν ἔχοντα πάντηι ἀργεῖν, ὥστε μὴ ἀκέφαλον ἡμῶν ὑπάρχειν τὴν σύνοδον μηδὲ ἀφο-
ρήτωι πένθει ἡμᾶς τε καὶ τοὺς ἅπαντας τῆς οἰκουμένης τοῦ Χριστοῦ ἱερεῖς ἀδιαλείπτως
ἐπὶ τοῖς προέδροις συντρίβεσθαι, ἀλλὰ τυχόντας τῶν αἰτήσεων τὰς συνήθεις εὐχὰς μετὰ
τῶν ἐν τῆι οἰκουμένηι ἐκκλησιῶν ἀναπέμπειν τῶι δεσπότηι Χριστῶι ὑπὲρ τοῦ δι' αἰῶνος
ἡμῖν χαρισθῆναι τὸ φιλόχριστον ὑμῶν κράτος. ἡ γὰρ κατ' αὐτῶν γενομένη συκοφαντία
παρά τε Ἰωάννου τοῦ τῆς Ἀντιοχέων καὶ τῶν σὺν αὐτῶι εἰς ἅπαντας ἡμᾶς βλέπει τοὺς
ὁμοπίστους τοῖς μνημονευθεῖσι καὶ συνιερατεύοντας αὐτοῖς διὰ τὸ καὶ πᾶσαν τὴν Δυτικὴν
σύνοδον μαρτυρεῖν αὐτοῖς τὴν ὀρθὴν καὶ ἀδιάβλητον πίστιν, καὶ ἡμᾶς δὲ αὐτοὺς περὶ τού-
nr. 45 του πληροφορηθέντας καὶ ἐγγράφως ἐπὶ ὑπομνημάτων ῥῆξαι φωνὰς ὅτι τέ εἰσιν ὀρθόδοξοι
καὶ τὴν τῶν ἁγίων ἡμῶν πατέρων ἔχουσι γνώμην περὶ τὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς
M IIII 1464 ἐκκλησίας δόγματα. δεόμεθα τοίνυν τοῦ ὑμετέρου κράτους· λύσατε καὶ ἡμᾶς καὶ αὐτοὺς
τῶν δεσμῶν· συνδεδέμεθα γὰρ τοῖς δεδεμένοις ὡς ἀδελφοῖς καὶ προέδροις τῆς ἁγίας ἡμῶν
συνόδου.

---

V, M, P [= hk], S, D [= ma], $ΛΛ^{t}Λ^{c}Λ^{w}$

1 δευτέραν VMPSDA$Λ^{tc}$ om. $Λ^{w}$ ἡμέραν μόλισ φθάσασ D 2 τῆς om. S 4 ἐχώρησαν P καὶ θεοφιλέστατον V om. M 5 ἐπίσκοπον M ἀλεξανδρείασ V ἁγιώτατον καὶ om. M θεοφιλέστατον om D συνεπίσκοπον ἡμῶν SD *coepiscopum* $Λ^{cw}$ ἐπίσκοπον ἡμῶν VMP ἐπίσκοπον A$Λ^{t}$ 6 αὐτῶν MPSD$Λ^{tc}$ αὐτῶ VA *ab ipso* $Λ^{w}$ 7 περιέβαλον MSD ὑπέβαλον P 8/9 καὶ θεοφιλεῖς om. M 9 συνήρπασαν S οὖν om. V 10 ἡμῶν ῥώμησ VSD, corr S, ῥώμησ ὑμῶν M καὶ θεοφιλέστατος om M 11 αὐτῶν SD 13 πάντασ SD 15/16 πεπραγμένων] γενομένων P 17—19 μακραῖς — ἐπισκόπων om. V 18 ἁπτόμεθα — δεόμενοι] ἁπο γονάτων δεόμεθα S μέν MPSD$Λ^{tc}$ om. VA ἐπὶ] κατὰ D 18/19 ἁγίων SD 20 μὴ δέ VSD μήτε δέ MPA 21 ἱερέασ A 22 τυγχάνοντασ SD 24 κράτοσ ὑμῶν PS γινομένη P 25 ἡμᾶς om. P 25/26 τοὺσ ὁμοπίστουσ VPA ὁμοπίστουσ ὄντασ D ὁμοπίστουσ S 26 τοῖσ DA$Λ^{tcw}$ ἐν τοῖσ VMPS 28 ἐγγράφουσ SD οἱ ὀρθόδοξοι V 29 πατέρων ἡμῶν PSD γνώμην] πίστιν SD 30 τοῦ κράτουσ ὑμῶν D καί$^{2}$ om V$Λ^{t}$ 31 ὑμῶν P, corr. h

**109** = S 115 A 149. Latina uersio extat in Collectione CT 64[a]

Ἀνελθόντων ἐν Κωνσταντινουπόλει τῶν ἑπτὰ καὶ ἑπτὰ ἐπισκόπων ἐξ ἑκατέρου μέρους L III 1058 ἐπληροφορήθη ὁ βασιλεὺς ὡς ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος πάντα κανονικῶς καὶ ἀκο- M V 256 λούθως πράξασα καθεῖλε Νεστόριον. δι' ὃ καὶ ἀποδεξάμενος αὐτοὺς κατέγνω τῶν Ἀνατολικῶν καὶ λοιπὸν ἐξώρισε μὲν Νεστόριον, ἐκέλευσε δὲ τοὺς ἐκ τῆς ἁγίας συνόδου εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν καὶ χειροτονῆσαι ἐπίσκοπον τῆι ἁγίαι Κωνσταντινουπολιτῶν ἐκκλησίαι. καὶ εἰσελθόντες ἐχειροτόνησαν Μαξιμιανὸν ἐπίσκοπον. καὶ μετὰ τοῦτο ἐκέλευσεν ὁ βασιλεὺς πάντας τοὺς ἐπισκόπους ἕκαστον ἀπελθεῖν εἰς τὴν ἑαυτοῦ χώραν τε καὶ πόλιν, ἔμεινε δὲ Ἰωάννης ὁ Ἀντιοχείας καὶ οἱ μετ' αὐτοῦ ἐν τῆι χωρίσει ὄντες.

**110** = S 116 A 150. Latina uersio extat in Collectione CT 67

Ἀντίγραφον ἑρμηνείας βασιλικοῦ θεσπίσματος γραφέντος πρὸς Ἰσίδωρον ἔπαρχον πραιτωρίων καὶ ὕπατον περὶ τῆς ἐξορίας Νεστορίου a. 436

Εἰ καὶ τῆς τῶν δημοσίων πραγμάτων φροντίδος περιφανής ἐστιν ἡ ἡμετέρα σπουδή, ὅμως οὐχ ἧττων παρ' ἡμῖν τῆς ἁγιωτάτης θρῃσκείας ἡ ἀσφάλεια, ἥσπερ θεραπευομένης παρ' ἡμῶν καὶ ἐν ταῖς δημοσίαις χρείαις πιστεύομεν ἑαυτοὺς βοηθεῖσθαι. καὶ διὰ τοῦτο, ἐπειδὴ Νεστόριος ὁ τῆς καθολικῆς ποτε ἐκκλησίας ἱερεύς, νῦν δὲ τῆς πίστεως προδότης, τηλικούτοις μυσαρῶν μεγέθεσιν ἐνδεδεμένος φαίνεται καὶ ἀναγκαῖόν ἐστιν ἵνα ἀποφάσει L III 1059 τῆς ἡμετέρας γαληνότητος ὑποβληθεὶς τῆι ἁρμοζούσηι τοῖς οἰκείοις τρόποις ταλαιπωρίαι καταβαρυνθείη, ὅστις καταλειφθέντων τῶν σεβασμίων νόμων τῆς ἐκκλησίας ἀθεμίτου αἱρέσεως αὐθέντης ἐφάνη καὶ ἐν τῶι διαφθείρειν αὐτῶν τὴν πίστιν οὕστινας τῆι κοινωνίαι τῆς ἑαυτοῦ προδοσίας συνῆψεν, εἰς τὸ οἰκεῖον ἑαυτοῦ πρόσωπον ἀνέλαβε καὶ τὸ ἔγκλημα τῆς προδοσίας τῆς ἀλλοτρίας, ἡ ἔνδοξος τοιγαροῦν σου αὐθεντία τοῦ πραγματικοῦ τούτου ἤτοι ἰδικῆς αὐθεντίας ὑποδειχθείσης τὸν μνημονευθέντα Νεστόριον εἰς ἐξορίας Πέτρας εἰς τὸ διηνεκὲς προσταξάτω ὑπὲρ τῶν ἠσεβημένων αὐτῶι καταχθῆναι οὕτως ὥστε πάντα αὐτοῦ τὰ ὑπάρχοντα τῆι ἐκκλησίαι Κωνσταντινουπόλεως προσκυρωθῆναι πρὸς τὸ τοῦ σεβασμιωτάτου τόπου τὰ πράγματα αὐξηθῆναι, οὗ προέδωκε πρώην τὸ μυστήριον. οὕτω γὰρ ἔσται ἐν ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἡ εὐλάβεια τῆς ἁγιωτάτης πίστεως ἀβλαβὴς καὶ τοῦ ἡμετέρου βασιλείου ἡ εὐδαιμονία ὀχυρωθεῖσα τῆι θρῃσκείαι ἀνθήσει.

---

7 Socr. 7, 37[19] Μαξιμιανοῦ . . προχειρισθέντος εἰς τὴν ἐπισκοπὴν ἐν ὑπατείαι Βάσσου καὶ Ἀντιόχου [431] περὶ τὴν εἰκάδα πέμπτην τοῦ Ὀκτωβρίου μηνός . . 8 cf. ep. A 97 = Coll. Casin. 122 [uol. IIII p. 73]

---

V, M, P [= hk], S, D [= mn], AWΛtΛcΛw

inscr. βασιλικὸν θέσπισμα τὸ δημεῦον [δημοσιεῦον D] καὶ ἐξορίζον νεστόριον VMPSDA om. W *narratio ordinationis Maximiani Constantinopoleos episcopi* Λ ρ̅θ̅ V ρ̅ P ρ̅ι̅ D 2 ἐξ ἑκατέρου μέρους om. Λ 3 *satisfactum est per semet ipsum praesenti imperatori* Λ 6 ἐν τῇ ἐκκλησία W 8 εἰσ τὴν ἑαυτοῦ ἀπελθεῖν D 9 ὁ ἀντιοχείας ἰωάννησ M ἰωάννησ W χωρίσει] χειρήσει S χειροτονία W ὄντες om. M in fine add. *ingressus autem est Cyrillus episcopus Alexandriae Athyr tertia et suscepit eum ciuitas cum multa excellentia et gloria* Λ d. 31. m. Oct. 431

V, M, P [= hk], S, D [= mn], AWΛtΛc

ρ̅ι̅ V ρ̅α̅ P ο̅α̅ M ρ̅ι̅α̅ D 11 βασιλικῆσ SD 12 *cons ordinarium* Λ περὶ — Νεστορίου om. Λ νεστορίου: — κατὰ νεστορίου ἀπόφασισ D 13 φροντίδος om. S ἡμετέρα VDΛ ὑμετέρα MPSAW 14 ἧττον VMPSDW, corr. VM ἡ τῆσ ἁγίασ θρησκείασ SD 15 ὑμῶν MP βοηθεῖσθαι ἑαυτοὺσ M βοηθῆσθαι Λ 17 μυσαροῖσ P ἐνδεδυμένοσ SW 19 νόμων] τόπων P 20 αὐτὸν MP οὕσ τινα A 21 ἑαυτοῦ[2]] αὐτοῦ P om. V 22 σου ἡ M τύπου τούτου V 23 ἐξορίουσ P ἐξορίαν D 24 καταταχθῆναι SD κατενεχθῆναι A οὕτως om. SD 25/26 σεβασμίου SD 27 εὐσέβεια P 27/28 τῆσ ἡμετέρασ βασιλείασ W 28 βασιλέωσ SD

**111** = S 117 A 151. Latina uersio extat in Collectione CT 68 cf. 280, altera a Iustiniano interpolata in Gestis Concilii quinti [L V 471 = M VIIII 249]. ipsius Latini exemplaris epitome in Theodosianum [16, 5, 66] recepta est

Ἀντίγραφον θείου νόμου

L III 1210 M V 413 Τὸ τῆι εὐσεβεστάτηι θρησκείαι παρ' ἡμῶν ὀφειλόμενον σέβας τοὺς περὶ τὸ θεῖον ἀσεβῶς ἔχοντας δίκαις τε ἀξίαις κολάζεσθαι καὶ ὀνόμασι τῆι αὐτῶν φαυλότητι πρέπουσι προσαγορεύεσθαι βούλεται, ὡς ἂν ὀνείδεσι περιβληθέντες αἰωνίαν ὑπομένοιεν τῶν ἁμαρτημάτων ἀτιμίαν καὶ μήτε ζῶντες τιμωρίας μήτε θανόντες ἀτιμίας ἐκτὸς ὑπάρχοιεν. Νεστορίου τοίνυν τοῦ τῆς τερατώδους διδασκαλίας ἡγεμόνος κατακεκριμένου, λείπεται τοὺς ὁμογνώμονας αὐτοῦ καὶ τῆς ἀσεβείας κοινωνοὺς ὀνόματι περιβαλεῖν κατεγνωσμένωι, ἵνα μὴ τῆι τῶν Χριστιανῶν ἀποχρώμενοι προσηγορίαι τοιούτων ὀνόματι κοσμοῖντο ὧν τοῦ δόγματος δυσσεβοῦντες ἐξέστησαν. διὰ ταῦτα νομοθετοῦμεν τοὺς ἁπανταχοῦ τῆς Νεστορίου ἀθεμίτου δόξης κοινωνοὺς Σιμωνιανοὺς ὀνομάζεσθαι (προσήκει γὰρ τοὺς ἐν τῆι τοῦ θείου ἀποστροφῆι τὸ ἐκείνου μιμουμένους δυσσέβημα τὴν αὐτὴν ἐκείνωι κληροῦσθαι προσηγορίαν, ὃν τρόπον Ἀρειανοὶ νόμωι τοῦ τῆς θείας λήξεως Κωνσταντίνου Πορφυριανοὶ διὰ τὸ ὅμοιον τῆς ἀσεβείας ἐκ Πορφυρίου προσαγορεύονται, ὃς τὴν ἀληθῆ θρησκείαν ἐπιχειρήσας τῆι τοῦ λόγου δυνάμει καταγωνίσασθαι βίβλους ἑαυτῶι οὐ παιδεύσεως ὑπομνήματα καταλέλοιπε) καὶ μηδένα τολμᾶν τὰς αὐτοῦ Νεστορίου τοῦ ἀθεμίτου τε καὶ ἱεροσύλου ἀσεβεῖς βίβλους περὶ τῆς εὐαγοῦς τῶν ὀρθοδόξων θρησκείας καὶ κατὰ τῶν δογμάτων τῆς ἐν Ἐφέσωι τῶν ἐπισκόπων ἁγίας συνόδου κατέχειν ἢ ἀναγινώσκειν ἢ μεταγράφειν, ἃς δεῖ σπουδῆι πάσηι ζητήσαντας δημοσίαι ἐμπίπρασθαι (τούτωι γὰρ τῶι τρόπωι πάσης ἀσεβείας ῥιζόθεν ἐκκοπείσης τὸ ἁπλοῦν καὶ εὐαπάτητον πλῆθος οὐδὲν πλάνης σπέρμα εὑρεῖν ποτε δυνήσεται), μηδὲ μνήμην τῶν οὕτως ἀπολλυμένων ἀνθρώπων ἔν τινι τῆς θρησκείας διαλέξει ἑτέρωι ἢ τῶι Σίμωνος ὀνόματι ποιεῖσθαι ἢ οἰκίαν αὐτοῖς ἢ ἀγρὸν ἢ προάστειον ἢ ὀντιναοῦν ἄλλον L III 1211 τόπον συνόδου ἕνεκα λεληθότως ἢ φανερῶς παρασχεῖν. τοὺς γὰρ τοιούτους ὁρίζομεν πάσης συνόδου ἀδείας στερίσκεσθαι, προδήλου ὄντος ἅπασιν ὡς ὁ παραβαίνων τε τὸν νόμον τοῦτον καὶ Νεστόριον μιμούμενος δημεύσει τῶν ὑπαρχόντων τιμωρηθήσεται. ἡ μεγίστη τοίνυν καὶ περιφανής σου ἐξουσία ταύτην ἡμῶν τὴν διάταξιν εἰς γνῶσιν ἁπάντων τῶν τὰς ἐπαρχίας οἰκούντων διατάγμασι συνήθως ἐλθεῖν παρασκευάσει. τὸν νόμον δὲ τοῦτον τῆι τε Ῥωμαίων τῆι τε Ἑλλήνων τεθείκαμεν γλώττηι, ὡς πᾶσιν σαφῆ καὶ γνώριμον εἶναι.

---

15 Gelas. HE 2, 36    31 subscribitur in Theodosiano 16, 5, 66: DAT. III NON. AVG. CONSTANTP D N THEOD. A. XV ET QVI FVERIT NVNTIATVS CONSS. [435]. anni certe notationem falsam esse inde sequitur quod in titulo nr. 110 Isidorus consul ordinarius [436] dicitur

---

V, M, P [= hk], S, D [= mn], ΛWΛtΛc

ριᾱ V ρβ P ριβ D    4 νόμου κατὰ νεστορίου DΛ    superscr. *Imperatores Caesares Theodosius et Valentinianus victores triumphatores maximi semper uenerabiles augusti* Λc    6 ὀνόματι — πρέποντι P    τοῖσ τῆ W    7 ὑπομένειεν V ὑπομείνοιεν SD    7/8 τῶν — ἀτιμίαν] τιμωρίαν τῶν ἁμαρτημάτων V    8 ζῶντασ D ζῶντοσ S    θανόντασ D θανόντοσ S    ὑπάρχειν VMSDW    9 κεκριμένου W κατακεκριμμένου V *occultato* Λt    10 αὐτῷ D    καθυποβαλεῖν SD    11 τοιούτων Λtc τοιούτω VMPSDAW    11/12 τὰ δόγματα W    12 τοῦτο SD    14 ἐκείνου] *illorum* Λtc    17 καταγωνίζεσθαι Α    οὐ παιδεύσεωσ VMPAΛt οὐ παιδεύματοσ SD παιδεύσεωσ W *sceleratos non eruditionis* Λc, scripserim ⟨ἀσεβείας⟩ οὐ παιδεύσεως    20 δεῖ] δὴ VW    24 προάστειον ἢ ἀγρόν W    26 ἀδείασ συνόδου P    πρόδηλον S    τε om. D    27 νεστόριοσ S    δημεύσεισ W    29 διὰ τάγματοσ συνήθουσ W    30 ῥωμαικῆ SD    ἑλλήνιυ SD

**112** = S 118 A 152. Latina uersio extat in Collectione CT 68

Φλαύιος Ἀνθέμιος Ἰσίδωρος, Φλαύιος Βάσσος, καὶ Φλαύιος Σιμπλίκιος Ῥηγῖνος οἱ ἔπαρχοι M V 416
λέγουσιν

Οὐδὲν οὕτω φίλον τοῖς κρατοῦσιν ὡς τὸ διὰ πάντων εὐσεβεῖν, οἳ δὴ εἰ τῆς ἐν ταῖς πράξεσι διηνεκῶς ἐπιμελεῖσθαι καθ' ἑκάστην ὡς εἰπεῖν οὐκ ὀκνοῦσιν εὐαγείας, νύκτας τε καὶ ἡμέρας συνάπτοντες ἐπὶ φροντίσι, πόσωι μᾶλλον ἐπ' αὐτῆς τῆς εὐσεβείας καὶ τῆς θρησκείας οὐ μετὰ σπουδῆς ἁπάσης παραφυλάττειν ἐγνώκασι; μελλούσης τοίνυν ἀναφύεσθαί τινος παραλόγου τε καὶ ἀνοίας καὶ τόλμης ἀναμέστου θρησκείας, μᾶλλον δὲ οὐδὲ μελλούσης, ἀλλὰ καὶ ἤδη τινὰ πλάνην αὐθεντίας ἐκδικησάσης, τῆι οἰκείαι προμηθείαι ἄνευ τινὸς ταραχῆς μετὰ πάσης γαλήνης, ὅπερ ἔμφυτον αὐτοῖς ἐστιν ἀεὶ καὶ διὰ πάντων φίλον, τὴν τοιαύτην διόρθωσιν γενέσθαι διέταξαν, τοὺς μὲν ἀρχηγέτας τῆς παρανομίας ἐπιτιμίοις τοῖς καθήκουσι σωφρονίσαντες, τῶν δὲ λοιπῶν πρόνοιαν ποιησάμενοι, ὅπως ἂν βλαπτόμενοι μηδέν, νουθεσίαι δὲ μόνηι ἐπὶ τὸ βέλτιον πειθόμενοι μεταρυθμισθέντες μηδὲν τῶν προσόντων ἀποκτήσαιντο, τὸ δὲ τέλειον καὶ ὅπερ ἀίδιον καὶ μετὰ ἀποβίωσιν ὑπάρχει κτῆμα τὸ τῆς εὐσεβείας βεβαίως ἐπιγνόντες φυλάξωσιν. ἀλλ' ἐπειδὴ τὸ ἀνθρώπινον, προληφθὲν ἅπαξ καὶ σαγηνευθὲν δολεροῖς τε λόγοις καὶ χείροσι λογισμοῖς, δυσπειθὲς καὶ δεῖ πρὸς τοῦτο καὶ φόβου πολλοῦ καὶ βαρυτάτων ἐπιτιμίων, τοὺς μὲν παραχαράττοντας τὰ τῆς πίστεως δόγματα προστάττουσιν ἡσυχάζειν τε τοῦ λοιποῦ καὶ μεταβουλεύσασθαι κάλλιον καὶ μήτε αὐτοὺς εἴς τινα τόπον συνιέναι μήτε ἑτέροις στάδιον ἀσεβείας ἀποδεικνύναι τι τῶν αὐτοῖς διαφερόντων χωρίων ἢ ἐν ἄστει ὂν ἢ ἀπωικισμένον ἢ πλησιάζον πόλει, [ἢ] ἁπλῶς ⟨δ'⟩ ἄβατον εἶναι τοιαύτης συνόδου πᾶσαν τὴν γῆν· τοὺς δέ γε ταῖς φρενοβλαβέσι συνθέσεσιν Νεστορίου τιθεμένους καὶ ἐφόδια τῆς πλάνης τὰς βίβλους ἔχοντας αὐτοῦ οἰκτείραντες μᾶλλον ἢ τιμωρησάμενοι προαγγέλλουσιν ἐκεῖνά τε πυρὶ παραδιδόναι καὶ ἀφανίζειν, ὅπως ἂν μὴ μνημόσυνα τοσαύτης πλάνης ἐν τῆι πολιτείαι καλινδούμενα ἐμπόδια τῆι ἀληθεῖ γίνοιντο πίστει, μήτε γράφειν γε ἕτερα, οἷς μηδὲ τὴν ἀρχὴν ἐμπεσεῖν εὐαγέστερον, μηδὲ ἐντυγχάνωσι τοῖς τοιούτοις, ἀφ' ὧν ἡ ζημία τοῦ παντὸς τὴν ἀπώλειαν ἔχει. τί γὰρ ψυχῆς καὶ πί- L III 1214 στεως προτιμότερον; ἃ τὰ τοιαῦτα τῶν ἀναγνωσμάτων βλάπτει καὶ τὸ καίριον τῆς ψυχῆς τυφλοῦντα πρὸς τὸ χεῖρον ἐπείγεσθαι παρασκευάζει. καὶ ἵνα μηδὲ λάθοιεν οἵτινες εἶεν, ἢ ἐπίκλησίν τινα ἔχοντες πρόσφορον ὑπομιμνήσκοιεν τοῦ αὐθέντου τῆς δραματουργίας αὐτῆς, εἰς ἀνάμνησιν ἄγοντες ὃν κάλλιον παραδίδοσθαι λήθηι, Σιμωνιανοὺς μὲν αὐτοὺς προστάττουσι καλεῖσθαι, βαρυτάτ ις δὲ ἐπιτιμίοις, εἰ παραβαῖεν εἰς τὸ μέλλον, σωφρονίζοντες. ὡς δ' ἂν γνοίητε τὴν γαλήνην, τὴν εὐσέβειαν τῶν προστεταγμένων, τὴν πρόνοιαν ἣν διὰ M V 417 πάντων τοῖς ὑπηκόοις νέμουσι, τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων τῶν μόνων ἀποδιδόντων

---

V, P [= hk], S, D [= mn], ΛΛtΛc

inscr διάταγμα τῶν ἐπάρχων ὥστε μὴ ἀναγινώσκεσθαι τὰ νεστορίου D ρ̅ι̅β̅ V ρ̅γ̅ P ρ̅ι̅β̅ D 2 φλ ανθέμιοσ S φλησανθέμιοσ PD φλαύιοσ βάσσοσ A φλησβάσσοσ P φλισβασοσ V φλησβάσιοσ S φλησάβιοσ D φλησιμπλίκιοσ P φλησσυμπλίκιοσ SD ῥιγῖνοσ P 4/5 οἳ — καθ' ἑκάστην] *aut actibus huiusmodi diligentiam adhibere qui cottidie* Λ 4 εἰ V εἰ καὶ P τὸ D om. SA τῆς] ταῖσ S om. D 5 εὐαγεῖσ SD ζωῆσ εὐαγοῦσ P 5/6 τε καὶ ἡμέρας] ἡμέραισ SD 6 πόσωι] πολλῶ A 7 σπουδῆς ἁπάσης] πολλῆσ σπουδῆσ SD ἐγνώκασι] *consueuerunt* Λ 10 αὐτοῖς om. SD 11 διέταξαν A διέταξε VP προσέταξαν SD 12 προσήκουσι D 13 νομοθεσία SD μεταρρυθμισθέντεσ SA 14 καὶ ὅπερ A καὶ ὅπερ καὶ P ὅπερ καὶ SD καὶ ὅπερ αἴτιον καὶ V βίωσιν VAΛ 15 ἐπιγνόντεσ βεβαίωσ SD φυλάξουσιν P προσληφθὲν D 16 τε om DΛ τε καὶ S καὶ om Λ χείροσι] *melioribus* Λc λογισμοῖς om. D 17 παρασχόντασ P 20/21 ἁπλῶς δ' scripsi secundum Λ ἢ ἁπλῶσ VPSDA 21 τῆσ τοιαύτησ P φρενοβλαβίαισ καὶ V 22 μᾶλλον om. P 23 προσαγγέλλουσιν P παραγγέλλουσιν D 24 τῆσ τοσαύτησ P πλάνης] βλάβης Λ γίγνοιντο PA γένοιντο V 25 γε] τὲ P om D ἐντυγχάνουσι S 27 προτιμώτερον P 28 τυφλοῦν SD μηδὲν D εἴ τινεσ P 29 τοῦ τῆσ P 30 ἄγοντασ SD ὃν S ὧν VPA ἣν D ὃ Λ 31 σωφρονίζεσθαι P 33 μόνων VAΛ μόνω P μόνον SD

τῶι κρείττονι διὰ πίστεως ἀμοιβὴν τὴν ἀξίαν τῶν εἰς αὐτούς τε καὶ τὴν οἰκουμένην ἅπασαν καταβληθεισῶν εὐεργεσιῶν, τοῦδε ἡμῶν τοῦ προγράμματος κατὰ τὸ εἰωθὸς τὸν τοῦ θείου φωτὸς γέμοντα νόμον προλάμπειν προσετάξαμεν, ὧι πεισθέντες τιμωρίας ἑαυτοὺς ἐλευθέρους καταστήσετε καὶ εἰς τὸ μέλλον τοῦ μήκους τοῦ παντὸς αἰῶνος εὐσεβεῖν μαθόντες ἀθανάτοις εὐεργεσίαις προσομιλήσετε, τοσαῦτα ὠφεληθέντες ὅσα τε βασιλεὺς νομοθετῶν θεός τε εὐσεβούμενος πέφυκεν ὠφελεῖν.

**113** = S 119 A 91 = A 153

M V 257 Ἐπιστολὴ συνοδικὴ γραφεῖσα ἀπὸ Κωνσταντινουπόλεως
L III 1059

Τοῖς θεοφιλεστάτοις καὶ εὐλαβεστάτοις ἀδελφοῖς καὶ συνεπισκόποις πᾶσι τοῖς τῆς Παλαιᾶς Ἠπείρου Μαξιμιανὸς Ἰουβενάλι ς Ἀρκάδιος Φίλιππος Φλαυιανὸς Φίρμος Θεόδοτος Ἀκάκιος Εὐόπτιος Δανιὴλ καὶ ἡ συμπαροῦσα αὐτοῖς ἁγία σύνοδος ἐν κυρίωι χαίρειν. Εἰδότες τὴν τῶν ἀποσχισάντων ἐπιβουλήν τε καὶ ἀπάτην τὴν κατὰ τῶν ἐκκλησιῶν παρ' αὐτῶν γινομένην καὶ ὅτι περιτρέχοντες ἑκάστην ἐκκλησίαν, ὡς κοινωνικοὶ τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς ἐν Ἐφέσωι, σπουδάζουσιν ἀπατᾶν ἕκαστον καὶ τὴν πρὸς λαούς τε καὶ κλήρους κοινωνίαν ἐφέλκεσθαι, πολλὴν περὶ τούτου πρόνοιαν ποιούμενοι ἐδικαιώσαμεν
d. 25. m Oct 431 ἅμα τῶι καταστῆναι τὸν τὰ πάντα θεοφιλέστατον καὶ ἁγιώτατον τὸν κύριον ἐπίσκοπον Μαξιμιανὸν τῆς μεγαλοπόλεως τὸ γράμμα τοῦτο πρὸς ὑμᾶς σὺν αὐτῶι διαπέμψασθαι ἵνα γνόντες τὰ κατ' αὐτοὺς παντοίως αὐτούς τε καὶ τὴν πρὸς αὐτοὺς κ ινωνίαν φυλάξησθε. ὑπὲρ δὲ πλείονος ἀσφαλείας καὶ τοῦ γνῶναι ὑμᾶς ὅτι οὐχ ἡμετέροις μόνοις πειθαρχεῖτε γράμμασιν, ἀλλὰ καὶ δόγμασι τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδ υ τῆς ἐν Ἐφέσωι, ὑπετάξαμεν τὸ συνοδικὸν γράμμα, ὥστε ὑμᾶς καὶ ἐξ ἐκείνου πληροφορηθῆναι τίνα τέ ἐστι τὰ τυπωθέντα περὶ τῶν ἀποστατησάντων καὶ τὰ Νεστορίου φρονησάντων καὶ οἷα τὰ ἐπιτίμια κατὰ τῶν κοινωνεῖν αὐτοῖς τολμώντων.

Πᾶσαν τὴν σὺν ὑμῖν ἀδελφότητα ἡμεῖς τε καὶ οἱ σὺν ἡμῖν πάντες προσαγορεύομεν. ἐρρωμένοι ἐν κυρίωι ὑπερεύχεσθέ μου, θεοφιλέστατοι ἀδελφοί.

Ὁμοίως καὶ οἱ λοιποὶ οἱ προγεγραμμένοι ἐπίσκοποι ὑπέγραψαν.

Ἔστι δὲ τὸ συναποσταλὲν ταύτηι τῆι ἐπιστολῆι συνοδικὸν γράμμα τοῦτο

L III 1062 ep 91 Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ ἐν Ἐφέσωι συγκροτηθεῖσα ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων βασιλέων τοῖς καθ' ἑκάστην ἐπαρχίαν τε καὶ πόλιν ἐπισκόποις τε καὶ πρε-

---

V, P [= hk] S, D [= mn], A ΛtΛc

2 γράμματοσ P    τοῦ om PSD    3 προετάξαμεν SD    4 καταστήσατε SD    καὶ VA om PSDΛ    5 *immortaliaque* Λ    6 in fine add τὸ τοιοῦτον [τὸ τοιοῦτον om. VP] γράμμα τῶν ἐπάρχων συναποστάλη [συναποσταλὲν VP] τῷ θείῳ νόμῳ καθ' ἑκάστην ἐπαρχίαν VPA

V, P [= hk], S, D [= mn], A [= A 153], $A_1$ [= A 91, usque ad 23]

8 ἐπιστολη — κωνσταντινουπόλεωσ VPSDA ἐπιστολὴ μαξιμιανοῦ τοῦ ἁγιωτάτου ἀρχιεπισκοπου κωνσταντινουπολεωσ καὶ τῶν ἀπὸ τῆσ ἐφέσου ἁγίασ συνόδου σταλέντων ἑπτὰ ὁσιωτατων ἐπισκοπων τῶν καὶ χειροτονησάντων αὐτὸν καὶ τῶν λοιπῶν ἐπισκόπων τῶν ἐνδημούντων τῇ βασιλίδι πόλει σταλεῖσα κατὰ πᾶσαν ἐπαρχίαν $A_1$    ριγ V ρδ P ριβ D, in ριγ corr m    9 πᾶσι τοῖσ hSDA πᾶσι Vk om $A_1$    10 Παλαιᾶς Ἠπείρου] κατα τήνδε τὴν επαρχίαν ἁγίασ τοῦ θῦ ἐκκλησίασ $A_1$    φλαυιανὸσ φίρμοσ φίλιπποσ πρεσβύτεροσ $A_1$    11 εὐόπιοσ V    Δανιὴλ om $A_1$    αὐτοῖς] ἡμῖν $A_1$    ἐν — χαίρειν om. V    12 βουλὴν PD    13 γενομένην VPA    παρατρέχοντεσ VPSA    13/14 καὶ μεγάλης om SD    14/15 λαικοὺσ τε καὶ κληρικοὺσ $A_1$    15 καὶ πολλην $A_1$    ἐπίσκοπον τὸν κύριον $A_1$    17 μεγάλησ πόλεωσ P    ἡμᾶσ S    19—21 ὅτι — ὑμᾶς om. SD    20 δογματι $A_1$    22 τά] κατὰ S    τὰ $A_1$ τὲ VPSA om D    24—p 71, 3 om $A_1$    24 ἡμῖν S    25 μου] ἡμῶν A    27 τῆσ ἐπιστολῆσ S    29 εὐσεβεστάτων] αὐτοκρατόρων SD    29/p 70, 1 τῶν καθ' — ἐπισκόπων τε καὶ πρεσβυτέρων καὶ διακόνων SD

σβυτέροις καὶ διακόνοις καὶ παντὶ τῶι λαῶι. Συναχθέντων ἡμῶν κατὰ τὸ εὐσεβὲς γράμμα ἐν τῆι Ἐφεσίων μητροπόλει, ἀπέστησαν τινὲς ἐξ ἡμῶν, ὄντες τὸν ἀριθμὸν τριάκοντα μικρῶι πρός, καὶ τὰ λοιπὰ ὡς προγέγραπται

**114** = S 83 A 88. Latina uersio extat in Collectione CT 65

Τῶι θεοφιλεστάτωι καὶ εὐλαβεστάτωι συλλειτουργῶι Κυρίλλωι Μαξιμιανὸς ἐν κυρίωι χαίρειν. PG 77, 148
Πεπλήρωταί σοι τὰ τῆς ἐπιθυμίας, θεοφιλέστατε· ἤνυσταί σοι ὁ ὑπὲρ τῆς εὐσεβείας σκοπός· PG 149
εἰς πέρας ἐλήλυθεν ὁ ὑπὲρ τῆς εὐσεβείας πόθος. θέατρον ἐγένου καὶ ἀγγέλοις καὶ ἀν- M V 260
θρώποις καὶ πᾶσι τοῖς τοῦ Χριστοῦ ἱερεῦσιν· οὐ μόνον ἐπίστευσας εἰς Χριστόν, ἀλλὰ γὰρ 1 Cor. 4, 9 Phil. 1, 29
καὶ ὑπὲρ αὐτοῦ ἔπαθες. μόνος ἄξιος ἐκρίθης τῶν παθημάτων τοῦ Χριστοῦ, καταξιωθεὶς Gal. 6, 17
τὰ στίγματα αὐτοῦ ἐν τῶι ἰδίωι σώματι βαστάσαι. ὡμολόγησας αὐτὸν ἔμπροσθεν τῶν Mt. 10, 32
ἀνθρώπων· ὡμολογήθης παρ' αὐτοῦ ἔμπροσθεν τοῦ πατρὸς καὶ τῶν ἁγίων ἀγγέλων, ἀνεδήσω
τοὺς ὑπὲρ τῆς εὐσεβείας στεφάνους. πάντα ἴσχυσας ἐν τῶι ἐνδυναμοῦντί σε Χριστῶι· Apoc. 2, 10
ἐταπείνωσας τὸν σατανᾶν διὰ τῆς ὑπομονῆς· κατεγέλασας κολαστηρίων· ἐπάτησας θυμὸν Iac. 1, 12
ἀρχόντων· λιμοῦ κατεφρόνησας· ἔσχες γὰρ τὸν ἄρτον τὸν ἐκ τοῦ οὐρανοῦ κατελθόντα καὶ Ioh. 6, 50
ζωὴν δεδωκότα τοῖς ἀνθρώποις τὴν ἄνωθεν. ἐπεὶ τοίνυν οὐδὲ ἡμεῖς ἀπελείφθημεν
τούτων, τὰ μὲν αἰσθητῶς παιδευόμενοι ἐνταῦθα, τὰ δὲ ἐν τῆι ἀκοῆι τῆς ὑμετέρας θλίψεως
πρὸς τὰς ἀρχὰς ἀντικαταστάντων, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκρά- Eph. 6, 12
τορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας,
παρήχθημεν δὲ εἰς τὴν ἀρχιερωσύνην τῆς μεγαλοπόλεως, καταξίωσον, θεοφιλέστατε, εὐχαῖς
τε ἡμᾶς ὑποστηρίζειν καὶ συμβουλαῖς στοιχειοῦν καὶ πάσηι περὶ ἡμᾶς κεχρῆσθαι εὐνοίαι,
ὥστε πληρωθῆναι καὶ ἐφ' ἡμῖν τὸ γραφικὸν ῥητὸν ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθού- Prov. 18, 19
μενος ὡς πόλις ὀχυρά. ἀληθῶς γὰρ ἡ πνευματικὴ ἀγάπη πόλις ἐστὶν ὀχυρά, οὐ δυνα-
μένη καταγωνισθῆναι οὔτε πολιορκηθῆναι ὑπὸ τοῦ διαβόλου οὔτε ὑπωρυγαῖς οὔτε ὑπερβάσεσιν.
οὔτε γὰρ εἴκει ταῖς ἑλεπόλεσι τοῦ σατανᾶ διὰ τὸ παρὰ τοῦ δεσπότου Χριστοῦ φυλάσσεσθαι,
Χριστοῦ τοῦ τὸν κόσμον νικήσαντος καὶ τὰ αἰώνιά σοι ἀγαθὰ ἑτοιμάσαντος, τοῦ εἰρηκότος
ὅστις οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ Mt. 10, 39
ἔστι μου ἄξιος. ἄξιος οὖν τοῦ δεσπότου Χριστοῦ διὰ τὸ λαβεῖν τὸν σταυρὸν καὶ
ἀκολουθῆσαι αὐτῶι γενόμενος, μὴ ἀμέλει τῆς περὶ ἡμῶν πρὸς τὸν Χριστὸν πρεσβείας, τὰ
δὲ ἀδελφικὰ κατορθώματα οἰκεῖα προτερήματα λογιζόμενος.

Ἐρρωμένος ἐν κυρίωι ὑπερεύχου μου, θεοφιλέστατε καὶ ὁσιώτατε ἀδελφέ. L III 1063

---

V, P [= hk], S, D [= mn], A
2 ἀπεστάτησάν S 3 προλάμπει P add. ζήτει ὄπισθεν D
V, P [= hk], S, D [= mn], AWJΛ^tΛ^c
inscr. ἴσον ἐπιστολῆσ γραφείσησ παρὰ τοῦ γενομένου ἐπισκόπου κωνσταντινουπόλεωσ μαξιμιανοῦ πρὸσ κύριλλον ἀρχιεπίσκοπον ἀλεξανδρείασ VP ἐπιστολὴ μαξιμιανοῦ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου κωνσταντινουπόλεωσ πρὸσ κύριλλον τὸν ἁγιώτατον κατὰ νεστορίου καὶ περὶ τῆσ οἰκείασ χειροτονίασ AJ ρ̅ι̅δ̅ V ρ̅ε̅ P π' D 5 εὐλαβεστάτω VPAJΛ ἁγιωτάτω SDW κυρίλλω ἀρχιεπισκόπω ἀλεξανδρείασ SDW 6 θεοφιλέστατε om. S 7 εἰς — πόθος om. W εἰς — εὐσεβείας] καὶ V ἀληθείας AJ 8 ἱερεῦσιν] ἀνθρώποισ καὶ ἱερεῦσιν V γάρ om. D 9 τῶν τοῦ χ̅υ̅ παθημάτων VP 11 παρ' αὐτοῦ — πατρόσ VPAJΛ^c παρὰ τοῦ πατρόσ SDWΛ^t καὶ AJΛ^tc ἐπὶ VP om. SDW ἁγίων om. SDWJ ἀνεδύσω P ἐνεδύσω W ἐνεδήσω AJ 13 post σατανᾶν add. *confringens eius arcum* Λ^c δικαστηρίων SW ἠπάτησασ S 14 τὸν om. W τὸν om. S 15 ἡμεῖσ οὐδὲν ὑπελείφθημεν SDW 16 τούτων om. SW μὲν γὰρ P παιδευόμεθα P τὰ om. S τῆσ — θλίψεωσ SDWΛ τῆσ θλίψεωσ τῆσ περὶ ὑμῶν VPA τῆσ περὶ ὑμῶν J 17 ἀντικαταστάντων V ἀντικατασστάντεσ PS ἀντικαθιστάντεσ DAWJ 19 μεγαλουπόλεωσ D μεγάλησ πόλεωσ P καὶ καταξίωσον S 21 πληροφορηθῆναι S 22 ἐστὶν om. S 24 ἥκει V ἐκεῖ S φυλάττεσθαι P 27 ὑπὸ τοῦ V χ̅υ̅ φυλάσσεσθαι χ̅υ̅ τοῦ τὸν κόσμον νικήσαντοσ V τὸ] τοῦ SDW σταυρὸν αὐτοῦ SDW 28 χ̅ν̅ SDWAJΛ δεσπότην χ̅ν̅ VP 30 μοι P ὁσιώτατε VPAJ ἁγιώτατε SDW ἀδελφέ VPAJΛ ἀδελφὲ καὶ συλλειτουργέ SDW

**115** = S 84 A 89

Τῶι εὐλαβεστάτωι καὶ θεοφιλεστάτωι συλλειτουργῶι Μαξιμιανῶι Κύριλλος ἐν κυρίωι
PG 152 χαίρειν. Πρέπειν οἶμαι καὶ νῦν εἰπεῖν, τῆς σῆς τελειότητος τὴν πολύευκτον ἡμῖν λαχούσης
1 Paral. 16, 31 ἱερωσύνην· εὐφρανθήτω ὁ οὐρανὸς ἄνωθεν, χαιρέτω δὲ καὶ ἡ σύμπασα γῆ καὶ βοάτω μετ᾽
Dan. 7, 20 εὐφροσύνης κατὰ τὴν τοῦ προφήτου φωνήν. οὐ γὰρ ἔτι στόμα λαλοῦν μεγάλα τῆς τοῦ
Ps. 74, 6 σωτῆρος ἡμῶν κατεπαίρεται δόξης οὔτε μὴν ὁ τοῦτο δρᾶν εἰωθὼς τὸ κέρας εἰς ὕψος ἐπαίρει
καὶ ἀδικίαν λαλεῖ κατὰ τοῦ θεοῦ, τὸν ἀγοράσαντα ἡμᾶς δεσπότην ἀρνούμενος. ἐξεπρίατο
1 Petr. 1, 18 γὰρ ἡμᾶς Ἰησοῦς ὁ Χριστὸς ὁ εἷς τε καὶ μόνος καὶ ἀληθῶς υἱὸς τοῦ θεοῦ καὶ πατρός, οὐ
Ioh. 10, 15 Eph. 5, 2 φθαρτοῖς ἀργυρίωι ἢ χρυσίωι, τεθεικὼς δὲ μᾶλλον ὑπὲρ ἡμῶν τὴν ἑαυτοῦ ψυχὴν
M V 261 καὶ ὡς ἄμωμον ἱερεῖον ἑαυτὸν προσκομίσας εἰς ὀσμὴν εὐωδίας τῶι θεῶι καὶ πατρὶ καὶ
δοὺς ἀντάλλαγμα τῆς ἁπάντων ζωῆς τὸ ἴδιον αἷμα. καὶ γὰρ ἦν ἁπάντων ἀξιώτερος,
μᾶλλον δὲ καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν, εἰ καὶ γέγονε καθ᾽ ἡμᾶς τέλειος ἄνθρωπος ὁ μονο-
γενὴς τοῦ θεοῦ λόγος, οὐ τροπήν, οὐκ ἀλλοίωσιν, οὐ τὴν θρυλουμένην ἀνάχυσιν ὑπομείνας,
οὐ φυρμόν, οὐ μετάστασιν τὴν εἰς ὅπερ οὐκ ἦν, μεμενηκὼς δὲ μᾶλλον καὶ ἐν τῆι καθ᾽
ἡμᾶς ἀνθρωπότητι τοῦθ᾽ ὅπερ ἦν, πεπίστευται καὶ ἔστιν ἀληθῶς, ζῶν τε καὶ ἐνυπόστατος
τοῦ πατρὸς λόγος. φέρε τοίνυν ὡς ἀπὸ γλώττης μιᾶς καὶ θεοφιλοῦς διανοίας τῆς ὀρθῆς
Bar. 3, 36-38 πίστεως τὴν ὁμολογίαν αὐτῶι προσφέρωμεν, λέγοντες μετὰ τοῦ μακαρίου Βαροὺχ οὗτος
ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν
ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῶι παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῶι
ἠγαπημένωι ὑπ᾽ αὐτοῦ. καὶ μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀν-
θρώποις συνανεστράφη. οὐ γὰρ ἕτερος μὲν ἦν υἱὸς τοῦ θεοῦ καὶ πατρὸς ὁ πρὸ
παντὸς αἰῶνος καὶ χρόνων, ὁ δι᾽ οὗ τὰ πάντα παρήχθη πρὸς γένεσιν, ἕτερος δὲ πάλιν ὁ
ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς διὰ τῆς ἁγίας παρθένου κατὰ σάρκα γεγεννημένος, ὁ αὐτὸς
Hebr. 2, 16. 14 δὲ μᾶλλον, σπέρματος Ἀβραὰμ ἐπιλαβόμενος κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνὴν
καὶ παραπλησίως ἡμῖν μετεσχηκὼς αἵματος καὶ σαρκός, ὁμοιωθεὶς κατὰ πάντα
Hebr. 4, 15 τοῖς ἀδελφοῖς, τουτέστιν ἡμῖν, δίχα μόνης ἁμαρτίας. ἐψυχῶσθαί γε μὴν ψυχῆι νοερᾶι
προσομολογοῦμεν τὸ ἑνωθὲν αὐτῶι κατὰ ἀλήθειαν σῶμα. ὐ γὰρ ταῖς τοῦ φρενοβλαβοῦς
Ἀπολιναρίου προσκείμεθα δόξαις, ἀναθεματίζομεν δέ, φρονοῦντες ὀρθῶς, Ἀπολινάριόν τε καὶ
Ἄρειον καὶ Εὐνόμιον καὶ σὺν αὐτοῖς Νεστόριον. τὴν γὰρ ἄνωθεν ἡμῖν παραδοθεῖσαν
Hebr. 6, 19 πίστιν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν κατὰ τὸ γεγραμ-
μένον. ὁμολογοῦμεν τοίνυν, ὡς ἔφην, ἕνα καὶ μόνον καὶ ἀληθῶς υἱὸν τοῦ θεοῦ καὶ
L III 1066 πατρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν, τὸν αὐτὸν εἰδότες καὶ θεὸν λόγον ἐκ πατρὸς
καὶ ἄνθρωπον ἐκ γυναικός, καὶ ὑπὲρ νόμον ὡς θεὸν καὶ ὑπὸ νόμ ν διὰ τὸ ἀνθρώπινον, ἐν
ἀξιώματι τῶι δεσποτικῶι κατὰ φύσιν καὶ ἐν δούλου μορφῆι διὰ τὴν οἰκονομίαν. ταύτην
PG 153 ἡμῖν παρέθεντο τὴν παράδοσιν καὶ λόγοι Μωσαικοὶ καὶ προαγορεύσεις προφητικαί, καὶ αὐτοὶ
Lc. 1, 2 δὲ πρὸς τούτοις οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου καὶ
Phil. 2, 15. 16 μὴν καὶ οἱ πρὸ ἡμῶν γεγονότες ἅγιοι πατέρες, οἳ καὶ γεγόνασι φωστῆρες ἐν κόσμωι,

---

V, P [= hk], S, D [= mn], AW

inscr. ἀντίγραφον τοῦ ἐν ἁγίοισ κυρίλλου πρόσ τὸν αὐτὸν ἐν ἁγίοισ μαξιμιανόν A om. VPSDW ριε V ρς P πα' D 2 κύριλλοσ ἐπίσκοποσ SDW 3 πρέπον VW 4 ὁ om. S καὶ[1] om. V ἡ γῆ σύμπασα SDW 5 καὶ κατὰ S μέγα S 6 αἴρει S 7 ἡμᾶσ ὁ κσ ἡμῶν A 8 ισ χσ VP 10 αὐτὸν P 11 πάντων V ἡμετέρασ SDW 12 ἄνθρωποσ τέλειοσ W 13 θρυλλουμένην VPSDW 14 καὶ μᾶλλον καὶ V 15 τοῦτο SDW πεπίστευται δὲ SD καὶ ἔστιν om. SA 16 λόγοσ τοῦ πατρὸσ VP 17 φέρωμεν A βαροὺκ S 19 καὶ[1] om. A 20 καὶ[1] om. S τῆς om. S 21 ἦν ὁ A 22 παντὸσ μὲν αἰῶνοσ SD πάντων μὲν αἰώνων W χρόνου SD 23 γεγενημένοσ PS ὁ om. A 25 ὁμοιωθεὶσ δὲ SDW ὁμοιωθείσ τε A 26 ἐμψυχῶσθαι D 27 κατὰ ἀλήθειαν om. S 28 ἀπολλιναρίου S προκείμεθα S ἀπολλινάριόν S 29 καὶ Εὐνόμιον om. A 32 ιν χν kW καὶ θν λόγον SAW θν λόγον VP καὶ θν καὶ λόγον D 34 ἐν τῆ P 36 τοῦ λόγου γενόμενοι A 37 ἐν κόσμωι om. V

λόγον ζωῆς ἐπέχοντες· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, τὴν πίστιν
ἀπομιμούμεθα, τουτέστι τὰ αὐτὰ καὶ φρ νεῖν αὐτοῖς καὶ λαλεῖν σπουδάζομεν, κατ' οὐδένα
τρόπον ἔξω φέρεσθαι τῆς εὐθείας ἀνεχόμενοι τρίβου· μεμνήμεθα γὰρ τῆς θεοπνεύστου
βοώσης γραφῆς ὀρθὰς τροχιὰς ποίει σοῖς ποσὶ καὶ τὰς ὁδούς σου κατεύθυνε. Prou. 4, 26
οἱ μὲν γὰρ τὰς ὀρθὰς τιμῶντες τροχιὰς κατὰ σκοπὸν τρέχουσιν εἰς τὸ βραβεῖον τῆς Phil. 3, 14
ἄνω κλήσεως ἐν Χριστῶι, οἱ δὲ τῆς ἀποστολικῆς τε καὶ εὐαγγελικῆς παραδόσεως ἀλογή-
σαντες καὶ τὴν νεωτέραν καὶ ἐπισφαλῆ καὶ καταγέλαστον ἀληθῶς τῆς ἑαυτῶν διανοίας
τιμῶντες εὕρεσιν ἀκουέτωσαν παρὰ πάντων μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ Prou. 22, 28
πατέρες σου. οὐ γὰρ ἀστεία τῶν τοιούτων ἡ ὁδός, καμπύλαι δὲ μᾶλλον αἱ τροχιαὶ καὶ
εἰς πέταυρον ἅιδου καὶ παγίδα θανάτου κατακομίζουσαι. καί μοι δοκεῖ σοφὸς ὢν ἄγαν Prou. 9, 18
ὁ Σολομὼν ἀσέμνωι γυναικὶ τὸ ἑκάστης τῶν αἱρέσεων περιθεῖναι πρόσωπον, εἶτα περὶ M V 264
αὐτῆς εἰπεῖν ὡς χρὴ παραιτεῖσθαι καὶ φεύγειν τὴν γυναῖκα, ἥτις ἐστὶ θήρευμα καὶ Eccles. 7, 27
σαγήνη καρδία αὐτῆς, δεσμὸς εἰς χεῖρας αὐτῆς. ἀγαθὸς πρὸ προσώ-
που τοῦ θεοῦ ἐξαιρεθήσεται ἀπ' αὐτῆς καὶ ἁμαρτάνων συλληφθήσεται ἐν
αὐτῆι. ἀλλ' ἐξηιρήμεθα μὲν ἡμεῖς τῆς τοῦ θηρεύοντος ἀπλήστου παγίδος, σεσώσμεθα
δὲ διὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, ὃν καὶ θεὸν εἶναι πιστεύοντες, ὁμολογοῦντες
δὲ θεοτόκον καὶ τὴν κατὰ σάρκα τεκοῦσαν αὐτόν, αὐτῶι πρόσιμεν λέγοντες Ζωώσεις Ps. 79, 19
ἡμᾶς καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, καὶ τῶι ὀνόματί σου ἐξομολογησό-
μεθα εἰς τοὺς αἰῶνας. ἁπάντων δὲ τούτων ἡμῖν τῶν τριποθήτων ἀγαθῶν γέγονε
πρόξενος ἡ θεία τε καὶ ἀπόρρητος καὶ ἄνωθεν ψῆφος καὶ ἡ τοῖς ἄνωθεν νεύμασι συντρέ-
χουσα γνώμη τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως. ἔπρεπε γὰρ τῆι γαληνότητι
αὐτῶν μὴ μόνον ὁρατοὺς καταπαλαίειν ἐχθρούς, ἀλλὰ γὰρ πρὸς τούτωι καὶ ἀοράτους, καὶ
βαρβαρικὰς μὲν συνθραύειν φάλαγγας, ἀπράκτους δὲ καὶ τὰς τοῦ διαβόλου δυστροπίας
ἀποτελεῖν καὶ τοῖς εἰς Χριστὸν πιστεύουσι διὰ τῆς σῆς θεοσεβείας πρυτανεύειν τὴν ἀσφά-
λειαν. ὁ μὲν γὰρ εἰκῆι βατταρίζων ἐν ἐκκλησίαι καὶ ταῖς κατὰ Χριστοῦ δυσφημίαις
ἀκρατὲς ἀνοίγων τὸ στόμα τῆς ἱερᾶς τε καὶ θείας ὑπεχώρησεν αὐλῆς, ἀντανέφυ δὲ καὶ
ἀνεβλάστησεν ἡ σὴ τελειότης ὡς φυτὸν εἰρήνης κατὰ τὸ γεγραμμένον, ξένιον δὲ καὶ τοῦτο Ezech. 34, 29
λαμπρὸν βασιλέως εὐσεβοῦς, προηγουμένης, ὡς ἔφην, τῆς ἄνωθεν ψήφου.

Συνηδόμεθα τοίνυν καὶ ὑμῖν τοῖς τὴν ὀρθὴν καὶ ἀμώμητον ἔχουσι πίστιν· ἐγήγερται
γὰρ ἱερουργὸς ἀνὴρ ὃν ἴστε καὶ χρόνος ὑμῖν παρέθετο μακρός, καὶ αὐτὴ δὲ τῶν πραγμά-
των ἐστεφάνωσεν ἡ πεῖρα, ἀνὴρ ταῖς εἰς ὑμᾶς ἀγαθαῖς φροντίσι μακροὺς δαπανήσας χρό- PG 156
νους καὶ τὴν οὕτω πάνσεμνον πολιὰν ἐξηνθηκώς. ἔδει γὰρ ἔδει ταῖς ἐξαιρέτοις μάλιστα L III 1067
τοῦ σωτῆρος ἀγέλαις σοφόν τε καὶ ἐπιστήμονα δοθῆναι τὸν ἐπιστάτην, π ιμενικῆς εὐτεχνίας
ἐπίμεστον ἔχοντα τὸν νοῦν, ἐν νομῆι ἀγαθῆι καὶ ἐν τόπωι πίονι κατανέμειν εἰδότα, δεδο- Ezech. 34, 14
κιμασμένον δὲ διὰ πραγμάτων ὡς πιστὸν καὶ γνήσιον οἰκονόμον. τοὺς μὲν γὰρ οὕτω
ζῆν εἰωθότας καὶ προσίεται Χριστὸς καὶ λόγου παντὸς ἀξιοῖ, τοὺς δὲ μὴ τοιούτους ἐξίστησι
τῆς ἐγχειρισθείσης αὐτοῖς οἰκονομίας. καὶ τοῦτό ἐστιν ἰδεῖν ἀληθὲς ἐξ αὐτῶν τῶν ἱερῶν

V, P [= hk], S, D [= mn], AW

1 ἀνατροφῆσ S  2 καὶ φρονεῖν αὐτοῖσ τὰ αὐτὰ S τὰ αὐτὰ φρονεῖν αὐτοῖσ V  4 γραφῆσ βοώσησ VPS  5 εἰς τὸ βραβεῖον om. SDW  6 τῆς om. VP  τε om. VP  παραδόσεως] καθέδρασ S  7 ἐπισφαλῆ VP ἀνωφελῆ SDW ἀνασφαλῆ A  8 τιμῶσιν S  μεταίρετε SD  9 ὑμῶν SD  τοιούτων ἐστὶν S  10 εἰσ παγίδα A  12 αὐτοῦ S  εἰπεῖν om. SW  τὴν τοιαύτην V σὺν τὴν A σὲ τὴν P  13 σαγῆναι SD  ἡ καρδία AW  αὐτῆ S  δεσμὸς εἰς] δεσμώσεισ S  13/14 ἀγαθὸς — αὐτῆς om. S  13 ὁ ἀγαθὸσ D  14 τοῦ θεοῦ] $\overline{κυ}$ D  ὁ ἁμαρτάνων D ἁμαρτάνων καὶ S  15 ἀλήστου A  17 πρόσειμεν V προσίεμεν SD  ζωῶσαι W  19 ἡμῖν τούτων W  21 εὐλαβεστάτου P  22 αὐτοῦ SW  24 τοῖσ] τῆσ S  25 ἐκκλησίαισ SD βλασφημίαισ P  26 τὸ om. W  ἀντανέφη P  28 βασιλέωσ εὐσεβοῦσ λαμπρόν V  βασιλείασ S προηγουμένωσ Sm  30 ἡμῖν S  31 ἡμᾶσ D  φροντίσιν ἀγαθαῖσ P  34 εἰδότι SW  37 οἰκονομίας] διακονίασ S  ἰδεῖν ἀληθέστατον D ἀληθὲσ ἰδεῖν VP

Ies. 22, 15-25 γραμμάτων. ἔφη γάρ που θεὸς πρὸς τὸν μακάριον προφήτην Ἡσαίαν· πορεύου εἰς
τὸ παστοφόριον πρὸς Σομναν τὸν ταμίαν καὶ εἰπὸν αὐτῶι· τί σοι ὧδε καὶ
τί σοι ἔστιν ὧδε; ἰδοὺ δὴ κύριος Σαβαὼθ ἐκβαλεῖ καὶ ἐκτρίψει ἄνδρα καὶ
ἀφελεῖ τὴν στολήν σου καὶ τὸν στέφανόν σου τὸν ἔνδοξον καὶ ῥίψει σε
εἰς χώραν μεγάλην καὶ ἀμέτρητον καὶ ἐκεῖ ἀποθανῆι καὶ ἀφαιρεθήσηι ἐκ
τῆς οἰκονομίας σου καὶ ἐκ τῆς στάσεώς σου. καὶ ἔσται ἐν τῆι ἡμέραι
ἐκείνηι, καλέσω τὸν παῖδά μου Ἐλιακεὶμ τὸν τοῦ Χελκίου καὶ ἐνδύσω αὐ-
τὸν τὴν στολήν σου καὶ τὸν στέφανόν σου δώσω αὐτῶι καὶ τὴν οἰκονο-
μίαν σου δώσω εἰς τὰς χεῖρας αὐτοῦ, καὶ ἔσται ὡς πατὴρ τοῖς ἐνοικοῦσιν
ἐν Ἰερ υσαλὴμ καὶ τοῖς ἐνοικοῦσιν ἐν Ἰούδα, καὶ δώσω τὴν δόξαν Δαυὶδ
αὐτῶι, καὶ ἄρξει καὶ οὐκ ἔσται ὁ ἀντιλέγων. καὶ στήσω αὐτὸν ἄρχοντα ἐν
M V 265 τόπωι πιστῶι, καὶ ἔσται εἰς θρόνον δόξης τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ,
καὶ ἔσται πεποιθὼς ἐπ' αὐτὸν πᾶς ἔνδοξος ἐν τῶι οἴκωι τοῦ πατρὸς αὐτοῦ,
ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἔσονται ἐπικρεμάμενοι αὐτῶι ἐν τῆι ἡμέραι
ἐκείνηι. τάδε λέγει κύριος Σαβαώθ· κινηθήσεται ὁ ἄνθρωπος ὁ ἐστηριγ-
μένος ἐν τόπωι πιστῶι καὶ πεσεῖται καὶ ἀφαιρεθήσεται ἡ δόξα ἡ ἐπ' αὐ-
τόν, ὅτι κύριος ἐλάλησεν. ἀγαπᾶι τοίνυν ὁ τῶν ὅλων θεὸς τὸν πιστὸν ἀληθῶς
καὶ γνήσιον οἰκονόμον, τὸν δὲ μὴ τοιοῦτον ὡς βέβηλον ἀποστρέφεται. συγκροτήσει δὲ
ὅτι τὴν σὴν ὁσιότητα καὶ τοῖς ἄνωθεν εὐφρανεῖ χαρίσμασιν πλουσίαι χειρί, τεθαρσήκαμεν,
ἵνα τὸν τῆς ἀληθείας ὀρθοτομοῦσα λόγον καὶ τὴν τῶν ἁγίων πατέρων ἰχνηλατοῦσα πίστιν
εὐδόκιμος διαμείνηι διὰ φειδοῦς τε καὶ εὐμενείας τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, δι'
οὗ καὶ μεθ' οὗ τῶι θεῶι καὶ πατρὶ ἡ δόξα σὺν ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας. ἀμήν.

Πρόσειπε τὴν παρά σοι ἀδελφότητα. σὲ ἡ σὺν ἡμῖν ἐν κυρίωι προσαγορεύει.
ἐρρῶσθαί σε καὶ μνημονεύειν ἡμῶν τῶι κυρίωι εὔχομαι, εὐλαβέστατε καὶ θεοφιλέστατε ἀδελφέ.

## 116 = S 120 A 154

L III 785 Τῶι ἁγιωτάτωι καὶ θεοφιλεστάτωι καὶ ἀρχιερουργῶι Κυρίλλωι Ἀλύπιος πρεσβύτερος
M IIII 1464 τῶν ἀπ στόλων ἐν κυρίωι χαίρειν. Μακάριος ἄνθρωπος ὃν καταξιώσει ὁ θεὸς πρῶτον
τοῖς τῆς ἀγάπης ὀφθαλμοῖς ἰδεῖν τὴν θεοφιλῆ καὶ ἁγίαν σου κεφαλὴν τῆς ὁμολογίας τὸν
τοῦ μαρτυρίου στέφανον φοροῦσαν. σὺ γάρ, ἁγιώτατε πάτερ, τὴν τῶν ἁγίων πατέρων
3 Reg. 18, 21 ὁδὸν ἐγρηγόρωι τῶι ὄμματι περιεπάτησας καὶ τοὺς χωλαίνοντας ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις
Num. 25, 11 ὀρθοποδεῖν πρὸς τὴν ἀλήθειαν ἐδίδαξας· σὺ τὴν παρρησίαν τοῦ Ἡλία ἐνεδύσω καὶ τὸν
Bel et drac. ζῆλον τοῦ Φινεὲς μόνος ἀνείληφας· σὺ τὸ δυσσεβὲς στόμα τοῦ ἰοβόλου δράκοντος ἐνέφραξας
27, 14-22 καὶ τὸν πολυφάγον Βὴλ κατέστρεψας καὶ τὴν μάταιον αὐτοῦ ἐλπίδα, τὴν διὰ χρημάτων
L III 788 αὐτῶι ἐπιγενομένην προστασίαν, ἀργὴν καὶ ἀνίσχυρον κατέστησας καὶ τὸ κατασκεύασμα

---

V, P [= hk], S, D [= mn], AW

1 πορεύθητι V πορευθεὶσ P  2 παστοφορεῖον P  σώμναν P σώμαν V  ταμίαν] ποταμίαν A  καί[1] om. P  3 ἔστιν om. S  δὴ om. V  κύριοσ ὁ θσ̄ P  Σαβαώθ om. SDW  ἄνδρα καὶ ἐκτρίψει A  4 ἀφελεῖται P  τόν[1] om. W  5 ἄμετρον SDW  ἀφαιρεθείσῃ PW  ἀπό SDW  6 ἀπὸ W  7 τόν[2] om. W  χαλκίου AW χελκίρου D  9 σου om. VAW  δώσει S  πᾶσι τοῖσ SDW  10 ἐν[1] om. SW  ἰουδαία P  11 ἄρχει P  12 τῷ οἴκῳ A  13 αὐτῷ S  14 ἀποκρεμάμενοι W ἀποκρεμμάμενοι S ἐπικεκραμένοι P  ἐν αὐτῷ A  ἐν om. SW  15 κριθήσεται W  ὁ om. SDW  ὁ om. VP  16 τόπωι] τῷ VP  ἡ[2] om. SW  19 ὅτι om. P  20 τῇ — πίστει P  22 θεῶι καὶ om DA  σὺν — πνεύματι om. P καὶ τὸ κράτοσ V  αἰῶνασ τῶν αἰώνων VA  23 περὶ σέ P  24 ὅτι σέ VP  ἡμῶν om. PS

V, P [= hk], S, D [= mn], A

ρις̄ V ρζ̄ P ριδ' D  26 ἁγίῳ P  καί[2] om. SD  ἀρχιεπισκόπῳ SD  27 ἂν καταξιώσῃ DA  29 φέρουσαν SD  30 τῶι om. SD  χωλεύοντασ SD  31 σύ] οὐ V  32 φηνεὲσ SA, corr. A  33 ματαίαν A  τὴν om. V  34 ἀργὴν καὶ VPA καὶ ἀρχὴν SD

τῆς χρυσῆς εἰκόνος νεκρὸν γενέσθαι ἐποίησας. καὶ ποῖον στόμα μύρων ἀπογέμον πνευματικῶν δυνήσεται φθέγξασθαι τοῦ ζήλου τοῦ σοῦ τὰ ἐγκώμια; ὁπότε ἴσος ἐγένου τοῦ μακαρίου Θεοφίλου τοῦ σοῦ θείου μιμητής, ἀλλὰ καὶ τὸ μαρτύρι ν τοῦ τρισμακαρίου Ἀθανασίου ἀνεδήσω καὶ καθάπερ ἐκεῖνος τῶν ἀνόμων αἱρετικῶν τὰς συσκευὰς ὡς σπιλάδας ἐξέφυγε ταῖς προσευχαῖς ἀπωσάμενος, οὕτως καὶ ἡ σὴ ἁγιωσύνη τὰς συσκευὰς τοῦ ἀνόμου ὥσπερ λαίλαπας ἀσθενεῖς κατεκοίμισε τῶι καθαρῶι τῆς συνειδήσεως βίωι. οὕτως γὰρ καὶ ὁ μακάριος Ἀθανάσιος μετὰ πολλὰς τὰς ψευδεῖς ἐπαγγελίας τὰς ὑπὸ αἱρετικῶν αὐτῶι προσγενομένας, ἑώλους ἀποδείξας, καὶ ἀλλοδαπὴν οἰκῆσαι κατεδέξατο ἐξορίας λόγωι, τῶν τότε κρατούντων τοῦτο κατασκευασάντων, καὶ ὅσον ἔσπευδον τὰ μιαρὰ ἐκεῖνα στόματα πλέκειν ψευδῆ ἐγκλήματα, τοσούτωι καθαρώτερος καὶ λαμπρότερος ἀνεδείκνυτο τῆι μακροθυμίαι διαλάμπων. τούτοις τοῖς πλεονεκτήμασι καὶ τούτοις τοῖς ἄθλοις τὸν στέφανον τοῦ μαρτυρίου ἑαυτῶι πλέξας, τὸ ὁμοούσιον ἔστησε καὶ τὴν Ἀρείου κακοδοξίαν κατεπάτησε καὶ τὴν ὀρθοδοξίαν ἀνέστησε καὶ τὸν ἅγιον τοῦ εὐαγγελιστοῦ Μάρκου θρόνον ὕψωσεν. οἷς καὶ αὐτὸς χρησάμενος κατόπιν ἐκείνου τοῦ ἁγίου περιεπάτησας. εὔχομαι τοίνυν, ἁγιώτατε πάτερ, καταξιωθῆναι αὐτοῖς ὀφθαλμοῖς ἰδεῖν τὸ ἅγιόν σου πρόσωπον καὶ κρατῆσαι σῶν γονάτων καὶ ἀπολαῦσαι μάρτυρος ἐν καιρῶι εἰρήνης τοὺς στεφάνους ἀναδησαμένου. ἅπαντα δὲ τὰ καθ' ἡμᾶς, ὡς ἐπαρρησιασάμεθα θαρσήσαντες τῆι σῆι προσευχῆι καὶ τῶν ἁγίων πατέρων καὶ ὅσα ἐποιήσαμεν, λέξει ὁ ἀγαπητὸς διάκονος Κανδιδιανός, ὃς καὶ τὰ γράμματα τῆς ἐμῆς βραχύτητος ἐπιδίδωσι τῆι σῆι ἁγιωσύνηι.

Προσαγορεύω πᾶσαν τὴν ἁγίαν σύνοδον τῶν ἀναδησαμένων τὸν στέφανον τοῦ μαρτυρίου μετὰ τῆς σῆς ὁσιότητος. ἐρρωμένος εὔθυμος, διαπρέπων ἐν κυρίωι, ἀγωνιζόμενος ὑπὲρ τῆς ἀληθείας χαρισθείης ἡμῖν ἀπὸ θεοῦ.

117 = 79; cf. quae ibi adnotaui

118 = S 85 A 96

Τοῦ αὐτοῦ ἀπολογητικὸς πρὸς τὸν βασιλέα Θεοδόσιον — L. III 1027, M V 225

1 Τῶι εὐσεβεστάτωι καὶ θεοφιλεστάτωι καὶ φιλοχρίστωι Θεοδοσίωι νικητῆι ἀεὶ αὐγούστωι Κύριλλος ἐν κυρίωι χαίρειν. (PG76.453) Ἡ μὲν θεία καὶ ἀκήρατος καὶ τῶν ὅλων κατεξουσιάζουσα (1 Tim. 6, 16) φύσις καὶ φῶς ἀπρόσιτον οἰκεῖ καὶ θρόνον ἔχει τὸν ἀνωτάτω τὸν αὐτῆι τε καὶ μόνηι πρεπωδέστατον, (Col. 1, 16) ὃν περιεστήκασιν ἀρχαὶ κυριότητές τε καὶ ἐξουσίαι, καὶ αὐτὰ δὲ τὰ ἅγια σεραφίμ, (L. III 1030) καὶ καθά φησι τὸ γράμμα τὸ ἱερόν, π ά ν τ α τ ὰ ἔ ρ γ α α ὐ τ ὴ ν σ ε ί ε τ α ι κ α ὶ τ ρ έ μ ε ι. (1 Esra 4, 36) ἀλλὰ καὶ οὕτως δεδοξασμένη καὶ τοῦ παντὸς θαύματος ἰοῦσα πρὸς λῆξιν, τῶι μεγέθει τῆς ὑπεροχῆς καὶ τῆς ἀπορρήτου δυνάμεως ἰσάμιλλον ἔχει τὴν ἡμερότητα· οὐ γὰρ ἂν ἤνεγκεν ἡ γενητὴ φύσις χρηστότητος ἀμιγῆ τὴν οὕτως ἀλκιμωτάτην καὶ ὑπερφυᾶ δύναμίν τε καὶ

V, P [= hk], S, D [= mn], A

2 τοῦ[1] om. D 3 τρισμάκαροσ V 4 ἀνεδύσω P καὶ καθάπερ PSDA καθάπερ γὰρ V 6 λαίλαποσ S κατεκοίμησε PS κατεκοίμισασ VA 7 μακαριώτατοσ SD 8 ἀπέδειξασ VS ἀπέδειξε D ἀλλοδαπὴν] ἄλλα ὁδάπιν P, corr. k in mg. 9 τότε] τε S 10 τοσοῦτον DA 12 κατεπάτησε] κατέλυσε P 13 τὴν — καὶ om. P εὐαγγελικοῦ A Μάρκου om. D 16 σῶν] τῶν Vn ἀναδησαμένουσ S 17 θαρρήσαντεσ P 19 ἐμῆς] αὐτῆσ P 21 ἐν $\overline{\kappa\omega}$ διαπρέπων V

V, P [= hk], S, D [= mn], AWU

$\overline{\rho\iota\eta}$ V $\overline{\rho\theta}$ P πβ' D 25 τοῦ αὐτοῦ κυρίλλου PSDW λόγοσ ἀπολογητικὸσ SDAW πρὸς — Θεοδόσιον om. U τὸν VPW τὸν εὐσεβέστατον A τὸν εὐσεβέστατον [εὐλαβέστατον S] ἡμῶν βασιλέα [βασιλέα ἡμῶν D] SD θεοδόσιον σημαίνων πάντα τὰ πραχθέντα κατὰ τὴν ἐφεσίων πόλιν A 26 εὐλαβεστάτω PSU θεοσεβεστάτω U καὶ om. VhU ἡμῶν βασιλεῖ θεοδοσίω SDAW νικητῆ τροπαιούχω S 29 κυριότητέσ τε VPU κυριότητεσ SD καὶ κυριότητεσ AW δὲ om. S 30 γράμμα] $\overline{\pi\nu\alpha}$ S 31 παντὸς] παρόντοσ V θαυμαστῶσ VU 33 γεννητή VS om. D χριστότητοσ D

ἐξουσίαν. καὶ γοῦν ὁ μακάριος προφήτης Δαυὶδ τὰς ὑπέρ τε ἑαυτοῦ καὶ ἁπάντων δὲ
Ps. 103, 14 τῶν ἐπὶ τῆς γῆς ἐποιεῖτο λιτάς, ποτὲ μὲν λέγων· μνήσθητι, κύριε, ὅτι χοῦς ἐσμέν,
Ps. 130, 3 ποτὲ δὲ πάλιν· ἐὰν ἀνομίας παρατηρήσῃς, κύριε κύριε, τίς ὑποστήσεται;
καὶ μὴν καὶ ὁ πανάριστος Ἰὼβ πειραζόμενος ὑπὸ τοῦ διαβόλου πικραῖς τε καὶ ἀφορήτοις
Iob 7, 21 αἰκίαις ἐνισχημένος ἀνακεκράγει πρὸς θεόν· διὰ τί οὐκ ἐποιήσω τῆς ἀνομίας μου
Iob 14, 17 λήθην καὶ καθαρισμὸν τῆς ἁμαρτίας μου; ἐσφράγισας δέ μου τὰς ἀνομίας
2 ἐν βαλαντίωι, ἐπεσημήνω δέ, εἴ τι ἄκων παρέβην. ἀλλ', οἶμαι, φαίη τις
ἂν πρὸς τοῦτο εὐθύς· τί οὖν, ὦ γενναιότατε τῶν ἀθλητῶν, εἰς ἐγκλήματος δύναμιν κατα-
λογίζηι τῶι θεῶι τὸ μὴ ἐλεεῖν; εἰ πεπλημμέληκας αὐτός, αἰτιᾶι τὸν νομοθέτην ὅτι μέμνηται
PG 456 τῶν ἡμαρτημένων; ναί, φησίν· ὁ γὰρ ἐλεεῖν πεφυκὼς καὶ οὐκ ἀθαύμαστον ἔχων ἐπὶ τούτωι
τὴν δόξαν διὰ τί μὴ τοιοῦτος ὁρᾶται καὶ εἰς ἐμέ; εἰ μὲν γὰρ ἐνδέχεται κατὰ μηδένα τρό-
M V 228 πον παρολισθεῖν δύνασθαι τὸν ἀνθρώπινον νοῦν, ἀκριβολογείσθω λίαν ὁ κριτής, σφραγιζέτω
τὰς ἁμαρτίας ἐν βαλαντίωι, παραιτείσθω τὴν λήθην τὴν ἐπί γε τοῖς προσκεκρουκόσι καὶ
Iac. 3, 2 ἀδοκήτως ἔσθ' ὅτε· εἰ δὲ πολλὰ πταίομεν ἅπαντες καὶ τὸ εἰς ἅπαν ἀμώμητον αὐτῶι τε
3 καὶ μόνωι πρέπει, χαριζέσθω τὸ ἀμνησίκακον τοῖς εἰωθόσιν ἀσθενεῖν. πρέπει τοίνυν
ταῖς ἀνωτάτω λίαν ὑπεροχαῖς τὸ γαληνόν τε καὶ ἥμερον φρόνημα, πρόσεστι δὲ τοῦτο κατὰ
τρόπον μὲν τὸν ἐξαίρετον τῆι θείαι τε καὶ ὑπερτάτηι φύσει, κατὰ μίμησιν δὲ τὴν πρὸς
αὐτὴν καὶ τῶι ὑμετέρωι κράτει, φιλόχριστοι βασιλεῖς, ὅτι τῆς ἐν οὐρανοῖς βασιλείας ἐκμα-
γεῖον ὥσπερ τι καὶ μίμημα τοῖς ἐπὶ τῆς γῆς ὑμεῖς δὴ καὶ μόνοι τὸ κατὰ πάντων λαχόν-
τες κράτος φόβωι τε καὶ ἡμερότητι σώιζοντες τὸ ὑπήκοον καὶ οἷόν τινα λαμπράν τε καὶ
4 εἰρηνικὴν εὐδίαν τοῖς ἀνὰ πᾶσαν ἁπλοῦντες τὴν ὑπ' οὐρανόν. ταύτηι τοι κἀγὼ παρωρ-
μήθην ἀναγκαίως ἐπί γε τὸ δεῖν ταῖς καθηκούσαις ἀπολογίαις λελυπημένην ὑμῶν θεραπεῦσαι
τὴν εὐσέβειαν. ὃ δὲ ἦν μοι μάλιστα τοῦτο δρᾶν ἑλομένωι χρήσιμόν τε καὶ ἀναγκαῖον,
παρίημι καὶ οὐχ ἑκὼν διὰ τὸ τῶι ὑμετέρωι κράτει παρὰ πάντων ὀφειλόμενον σέβας. τὸ
μὲν γὰρ εἰπεῖν ὡς οὐ γέγονά τις οὕτω θρασὺς ἢ ὀλιγογνώμων ἢ καὶ σφόδρα τοῦ πρέπον-
τος κατημεληκώς, ὡς πλημμελῆσαί τι, καὶ τοῦτο εἰς ὑμᾶς, οὐκ ἀζήμιον ἔσθ' ὅτε. δέδια
γὰρ καὶ μάλα εἰκότως τὸ ταῖς παρ' ὑμῶν ἀντιφέρεσθαι ψήφοις, ἵνα μή τι πάθοιμι τοιοῦτον
ὁποῖόν τί φασι πεπονθέναι τὸν Ἰσραήλ· οὐ γὰρ εἰς ἅπαν ἀπηλλαγμένος τοῦ καὶ ἔσθ' ὅτε
Iac. 3, 2 πλημμελεῖν (πολλὰ γὰρ πταίομεν ἅπαντες καὶ νοσεῖ τὸ εὐόλισθον ἡ ἀνθρώπου φύσις),
L III 1031 ὡς ἀκριβὴς νομοφύλαξ ὤιετο τάχα που κατὰ μηδένα τρόπον προσκροῦσαι θεῶι, ἀλλ' ἤκουε
Ier. 2, 35 λέγοντος αὐτῶι· ἰδοὺ ἐγὼ κρίνομαι πρὸς σὲ ἐν τῶι λέγειν σε 'οὐχ ἥμαρτον'.
ἄμεινον οὖν ἄρα καὶ σοφὸν τὸ τοῖς κρατοῦσι παραχωρεῖν καὶ τὴν ἐφ' οἷς λελύπηνται
συγγνώμην αἰτεῖν. πρόσεστι γάρ, ὡς ἔφην, κατὰ μίμησιν τὴν ὡς πρὸς θεὸν καὶ τῶι
ὑμετέρωι κράτει τὸ ἀμνησίκακον.

---

V, P [= hk], S, D [= mn], AW, U [finem facit in 33 αἰτεῖν]

1 αὐτοῦ SW 2 τῆς om. U 4 καὶ² om. P πανάριστος] μακάριοσ S ἀπορρήτοισ SDW 5 ἀνεκεκράγει W τὸν θν̄ PW ἐποίησασ V 5/6 λήθην τῆσ — μου SDAW 7 βυλλαντίω A δὲ καὶ D 8 εἰς] ὡσ SW 9 ἐλεεῖν] ἐλθεῖν D εἰ] ἐπὶ SDW πε-πλημμεληκότασ DW πεπλημμεληκότι S αἰτιᾶι] αὐτίκα SDW 10 ναί φησίν] καὶ φησ U 11 τὴν om. V εἰ] ὃ SW μὲν om. D γὰρ om. P 12 παρολισθῆσαι V δύνασθαι om. S 13 ἀνομίασ SDW τὴν ἐπί γε] ἣν ἐπῆγε W ἣν ἐπάγει V προκεκρουκόσι S 14 τὸ — ἅπαν] εἰσάπαν τὸ VPU τε] γε A 17 τρόπον μὲν] τὸν τρόπον δὲ W τὸν] τὸ V τε om. W ὑπερτάτω S 18 φιλόχριστοι βασιλεῖς om. U 18/19 ἐκτύπωμα VPU 19 τοῖς] οἱ U δὴ] δεῖ U δὲ PW 20 καὶ² om. S τε om. P 21 εἰρηνικὴν — πᾶσαν] εὐ spatium uacuum W εἰρήνην εὐωδίαν SD τοι om. P 21/22 παρορμήθην W ἐπὶ — δεῖν om. spatio relicto W ἡμῶν U 23 ἑλομένω μάλιστα — δρᾶν V 24 παρίειμι S πάντασ S 25 μὲν γάρ] δὲ V γέγονέ W οὕτω om. S καὶ om. A 26 πλημμελῆσασ SDW τι om. P σέ [in με corr.] τι V ἡμᾶσ P 27 ἡμῶν W 28 φασι om. SDW 30 τάχα που om. U που om W 31 αὐτοῦ VPU

5 Γέγραφα τοίνυν τῆι τε ὑμῶν εὐσεβείαι καὶ μὴν καὶ αὐταῖς ταῖς εὐκλεεστάταις βασι- ep. 7. 149
λίσιν. ἴδρων δὲ τοῦτο, καὶ μάλα ὀρθῶς, οὐχ ἵνα θόρυβον ἢ διχόνοιαν ταῖς ἱερωτάταις cf. ep. 8
ὑμῶν αὐλαῖς ἐμβάλοιμι (πόθεν; μὴ γὰρ οὕτως εἴην ἔξω τε φρενὸς ἀγαθῆς καὶ λογισμοῦ τοῦ πρέ-
ποντος), ἐννενοηκὼς δὲ μᾶλλον ὅτι νηφαλίους εἶναι προσήκει τοὺς ἱερουργεῖν τεταγμένους τῶι
παναγίωι θεῶι, περισκέπτεσθαι δὲ τὸ αὐτῶι δοκοῦν καὶ ἀμελλητὶ τοῦτο δρᾶν, τὸν ἐπηρτη- PG 457
μένον αὐτοῖς δεδιότας ὄλεθρον, εἰ κατά τι γοῦν ὅλως ἀναπίπτοιεν εἰς ῥαθυμίας. δεῖ
γὰρ ἡμᾶς βεβαιοτέρους εἰς πίστιν ἀπεργάζεσθαι τοὺς ἤδη πεπιστευκότας εἰς τὸν κύριον
ἡμῶν Ἰησοῦν Χριστόν, οὓς τῶι ἰδίωι αἵματι κατεκτήσατο καὶ γνησίους ἀπέφηνε προσκυνη-
τὰς γένος τε ἐκάλεσεν ἐκλεκτόν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον καὶ λαὸν 1 Petr. 2, 9
εἰς περιποίησιν, ἵνα τὰς ἀρετὰς ἐξαγγείλωσι τοῦ πάντας καλοῦντος ἐπὶ τὸ θαυμαστὸν
6 αὐτοῦ φῶς. καὶ γοῦν τὰ ἐπί γε τοῖς ἱερᾶσθαι λαχοῦσι θεσμοθετῶν, πρὸς τὸν μακάριον
προφήτην Ἰεζεκιὴλ οὕτω πού φησιν· υἱὲ ἀνθρώπου, λάλησον τοῖς υἱοῖς τοῦ λαοῦ Ezech.33,2-6
σου καὶ ἐρεῖς πρὸς αὐτούς· γῆ ἐφ' ἣν ἂν ἐπάγω ῥομφαίαν καὶ λάβηι ὁ M V 229
λαὸς τῆς γῆς ἄνθρωπον ἕνα ἐξ αὐτῶν καὶ δῶσιν αὐτὸν ἑαυτοῖς εἰς σκο-
πὸν καὶ ἴδηι ῥομφαίαν ἐρχομένην ἐπὶ τὴν γῆν καὶ σαλπίσηι τῆι σάλπιγγι
καὶ σημάνηι τῶι λαῶι καὶ ἀκούσηι ὁ ἀκούσας τῆς φωνῆς τῆς σάλπιγγος
καὶ μὴ φυλάξηται καὶ ἐπέλθηι ἡ ῥομφαία καὶ καταλάβηι αὐτόν, τὸ αἷμα αὐτοῦ
ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἔσται. ὅτι τὴν φωνὴν τῆς σάλπιγγος ἀκούσας οὐκ
ἐφυλάξατο, τὸ αἷμα αὐτοῦ ἐπ' αὐτοῦ ἔσται, καὶ οὗτ ς, ὅτι ἐφυλάξατο,
τὴν ψυχὴν αὐτοῦ ἐξείλετο. καὶ ὁ σκοπός, ἐὰν ἴδηι τὴν ῥομφαίαν ἐρχο-
μένην καὶ μὴ σημάνηι τῆι σάλπιγγι καὶ ὁ λαὸς μὴ φυλάξηται καὶ ἐλθοῦσα
ἡ ῥομφαία λάβηι ἐξ αὐτῶν ψυχήν, αὕτη διὰ τὴν αὐτῆς ἀνομίαν ἐλήφθη,
7 καὶ τὸ αἷμα ἐκ χειρὸς τοῦ σκοποῦ ἐκζητήσω. χρῆναι δὲ οἶμαι τῶν εἰρημένων
τὴν δύναμιν οὐκ ἀζήτητον ἐᾶν· ὀνήσειε γὰρ ἂν καὶ ἔτι μειζόνως, τῆς ἐπ' αὐτῶι θεωρίας
ἐξευρυνομένης εἰς τὸ ἐμφανές. οὐκοῦν ἐφόδου βαρβαρικῆς προσδοκωμένης ἔσεσθαι κατὰ
πόλεως, οἱ ταύτης μελεδωνοὶ καὶ φρ ντισταὶ καὶ προεστηκότες σκοπευτηρίοις τισὶν ἤτοι
πύργοις τοῖς ἄγαν ὑψηλοτάτοις ἐνιζάνουσι τινάς, οἳ τοῖς ἀγροῖς ἐνορῶντες, ἀεὶ τῆιδε κά-
κεῖσε τὸν οἰκεῖον περικομίζοντες ὀφθαλμὸν ἐπαγρύπνως, περιεργάζονται μὴ ἄρα τις τῶν
πολεμίων ἐμβάλοι. προκατασημήναντες μὲν γὰρ τῆι πόλει τὴν ἔφοδον, οὐ μετρίων ἀξι-
οῦνται γερῶν· ἀπονυστάξαντες δὲ πρὸς τοῦτο, τὰς τοῦ ἁλῶναι καὶ παθεῖν αἰτίας αὐτοὶ
ταῖς ἰδίαις ἀναμάττονται κεφαλαῖς, τὴν ἁπασῶν ἐσχάτην ὑπομένοντες δίκην. κατὰ τὸν

---

V, P [= hk], S, D [= mn], AW

1 τε] γε SDW om. A   μὴν καὶ om. P   αὐταῖς om. SDW   1/2 βασιλίσσαισ SDAW   2 ἑδραιῶν S   δὲ] τε SW   διχόνοιαν καὶ θόρυβον SDW   3 ἐμβάλλοιμι V   τε om. S   τοῦ om. VP   4 ἐννοηκὼσ V   προσήκει om. P   5 δὲ om. P τε V   ἀμελητὶ VPSAW μὴ ἀμελητὶ D   5/6 ἐπηρτιμένον D ἐπηρτισμένον V   6 δεδιότα W   κατά τι VP καὶ ταύτη SDAW   ῥαθυμίαν PS   7 κατεργάζεσθαι A   πιστεύσαντασ VP   8 τὸν $\overline{\chi\nu}$ SAW   9 τε] τί S   ἐκλεκτόν om. S   καὶ ἔθνοσ VP   10 τοὺσ — καλοῦντασ SW   εἰσ SDAW   11 γοῦν] μὴν S   τὰ ἐπί γε SDA τὰ ἔπη γε W ἐπὶ VP   νομοθετῶν SDAW   12 που om. SW   13 ἐπαγάγω VP   ῥοφαίαν P   13—15 καὶ λάβηι — ῥομφαίαν om. P   13 λάβοι A   14 δῶσιν A δώσει SDW δώσουσιν V   ἑαυτοῖς] ἐν αὐτοῖσ SDW   14/15 κόπον S   15 σαλπίσει nAW   16 σημανεῖ SDAW   λαῶ μου SD   ἀκούσει AW   17 φυλάξεται A   ἐπέλθοι Wcorr λάβη SDAW   18 τῆ κεφαλῆ SDA   18/19 ὅτι τὴν — ἔσται om. P   19 τὸ αἷμα — ἐφυλάξατο om. W   20 ἐξείλατο S ἐξήλατο W   21 σημανεῖ SDAW   μὴ om. SW   φυλάξητε S   22 ῥοφαία P   ἀπ' SDAW   αὐτὴ μὲν P   23 τῆσ χειρὸσ SDAW   οἶμαι] τοι καὶ SDW   24 οὐκ ἀζήτητον] ἐγκαταζήτησον S   νοήσειεσ W   ἂν om. SDAW   26 πόλιν SDW   καὶ φροντισταὶ om. SDAW   ἤγουν W   27 ἐφιζάνουσι VP   29 ἐμβάλλοι VP   προκατασημάναντεσ DA προκατασημαίνοντεσ W   μὲν om. W   μετρίωσ SD   30 ἀπονυστάζοντεσ A   31 ἀναμάσσονται D ἀναμάττοντεσ SW   πασῶν V   ἐσχάτην om. D   ὑπομένουσι SW

ἴσον οἶμαι τούτωι τρόπον καὶ τῶν ἱερέων ἕκαστος, ἐπειδὴ τέθειται παρὰ θεοῦ σκοπός, εἰ
μὲν ἀπαγγέλλοι τοῖς ὑπὸ χεῖρα λαοῖς τὸ πεφυκὸς ἀδικεῖν, στεφάνου πρόξενον αὐτῶι τὸ
L III 1034 χρῆμα ποιήσεται· περιπεσεῖται δὲ πάλιν τοῖς ἐκ θείας ὀργῆς ἐπισυμβαίνουσι κακοῖς, ἀδική-
σας οὐ μετρίως ταῖς σιωπαῖς τὸ ταῖς παρ' αὐτοῦ φωναῖς εἰς ὀρθότητα διοικούμενον.
8 οὐκοῦν ὁ πόλεμος ἦν οὐ καθ' ἑνὸς τῶν καθ' ἡμᾶς ἀνθρώπου κοινοῦ, κατ' αὐτοῦ δὲ μᾶλλον
PG 460 κινούμενος τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ. γέγραπται μὲν γὰρ ὅτι οὐδεὶς λέγει
1 Cor. 12, 3 ἀνάθεμα Ἰησοῦς, εἰ μὴ ἐν Βεελζεβούλ, τουτέστιν οὐδεὶς ἀρνεῖται Χριστόν, εἰ μὴ ἔχοι
Mt. 12, 24 πρὸς τοῦτο διανιστάντα τὸν σατανᾶν· ἀληθὲς δὲ ὅτι τὸ εἰρημένον, οὐκ ἂν ἐνδοιάσειέ τις.
οὐκοῦν ὁ δράκων ὁ ἀποστάτης, τουτέστιν ὁ σατανᾶς ἀνδρὸς ἱερέως οὐκ ἀσφαλοῦς, μᾶλλον
δὲ καὶ πεπλανημένου διάνοιαν εὑρὼν καὶ γλώσσης εὐπορήσας ἑτοιμότατα καὶ ἀπερισκέπτως
τοῖς τῆς ἀληθείας ἐνυβριζούσης δόγμασι καὶ τὴν τοῦ σωτῆρος ἡμῶν κατασμικρυνούσης
δόξαν (θρασεῖα γὰρ ἦν καὶ ἀχαλίνοις ὁρμαῖς πρὸς πᾶν ὁτιοῦν τῶν ἀπηχεστάτων ἰοῦσα
θερμῶς), θορύβου μὲν πάσας ἐπίμπλα τὰς ἐκκλησίας, πολιορκουμένης δὲ οὕτω τῆς ὀρθῆς
πίστεως, διχόνοιαι πανταχοῦ καὶ πολὺς ἦν ὁ λόγος παρὰ τοῖς ἤδη πεπιστευκόσι, μὴ ἄρα
πως πεπλάνηνται, θεὸν εἶναι κατὰ ἀλήθειαν ἐννοήσαντες τὸν Χριστόν. καὶ τί τὸ ἐντεῦ-
θεν; νόσος οἷά τις λοιμικὴ τὴν ὑφ' ἥλιον κατεβόσκετο, ῥίζαν ἔχουσα τὸ ψεῦδος καὶ πατέρα
τὸν σατανᾶν. ἐπειδὴ δὲ τεθείμεθα παρὰ θεοῦ σκοποὶ καὶ τῶν λαῶν κηδεμόνες, πῶς οὐκ
M V 232 ἔδει καὶ μάλα προθύμως τὴν ἱεράν τε καὶ ἐκκλησιαστικὴν λαβόντας σάλπιγγα τοῖς εὐσεβεῖν
βουλομένοις τῆς τοῦ διαβόλου ῥομφαίας κατασημᾶναι τὴν ἔφοδον; τίνα γὰρ ἐπήρτησε δίκην
Ezech. 33, 8 τοῖς σιωπῶσι θεός; τὸ αἷμα, φησίν, ἐκ τῆς χειρός σου ἐκζητήσω.
9 Ἀλλ' ἦν, ὦ φιλόχριστε βασιλεῦ, ἀσφαλὴς καὶ ἀκλόνητος ἡ σὴ καρδία. ναί, καὶ
αὐτὸς ὁμολογῶ, μᾶλλον δὲ καὶ αὐτὸ τοῦτο βοήσει τὰ πράγματα καὶ πρός γε τούτωι μακρὸς
μαρτυρήσει χρόνος καθ' ὃν εὐδόκιμοι γεγονότες εἰς εὐσέβειαν ταῖς τῶν προγόνων ἁμιλλᾶσθε
δόξαις. καὶ ἐπείπερ ἐστὶν ἐκείνοις εὐκλεὲς τὸ καὶ τῆς ὑμετέρας γαληνότητος ἡττᾶσθαι
τυχόν, φαίην ἂν εἰκότως, καταδείσας οὐδέν, ὅτι τὴν ἀμείνω καὶ προφερεστέραν ὑμεῖς ἀν-
εδήσασθε ψῆφον. οἶδα τῆς ἐνούσης ὑμῖν πίστεως τὸ ἀκλόνητον, τῆς εἰς Χριστὸν ἀγά-
πης τὸ ἱδρυμένον, ἔγραφον δὲ χρησίμως, ἵνα τοῖς ἄλλοις, μᾶλλον δὲ ταῖς ἐκκλησίαις ἁπά-
σαις θορυβουμέναις ἐπικουρήσητε· σώιζειν γὰρ ἔθος ὑμῖν. ἡ βαρβαρικὰς ἐφόδους σημαί-
νουσα σάλπιγξ τὸν μὲν εὐσθενῆ τε καὶ μαχιμώτατον τῆς αὐτῶι πρεπούσης εὐανδρίας
ὑπομιμνήσκει μόνον, τὸν δὲ οὐ σφόδρα γοργὸν οὐδὲ ἐμπειροπόλεμον ἀσφαλίζεται, μὴ ἄρα
πως ταῖς τῶν πολεμίων φάλαγξιν ἀδοκήτως ἐμβαλὼν τῆς ἐνούσης αὐτοῖς ὠμότητος γένηται
θήραμα. ὁ ἐμὸς τοιγαροῦν περὶ Χριστοῦ λόγος τῆς μὲν ὑμετέρας εὐσεβείας τὸ κέντρον
ἐκίνει κατὰ τῆς τοῦ διαβόλου παγίδος, ἠσφαλίζετο δὲ πρὸς πίστιν τοὺς ἐλαφρόν τε καὶ
εὐπαρακόμιστον ἔχοντας νοῦν. οὐ πολλοῖς εὐκάτοπτόν ἐστι τὸ Χριστοῦ μυστήριον, βαθὺς
δὲ λίαν ὁ λόγος ὁ περὶ αὐτοῦ καὶ τοῖς ὅτι μάλιστα νουνεχεστάτοις καὶ τὰς θείας ἠκριβω-

V, P [=hk], S, D [= mn], AW

1 τοῦτο S τοῦτον V τῶν] τόν P 2 ἀπαγγέλοι PS ἀπαγγέλλει V ἑαυτῶ VP 5 πολέμιοσ A ἀνθρώπων W 6 μὲν om. PSW 7 ῑν̄ PDW τὸν χ̄ν̄ SAW ἔχει VP 8 διανιστῶντα SD διαναστάντα W 10 τὴν διάνοιαν VP τυχὼν V εὐπορησάσησ W ἑτοιμό-τατα DA ἑτοιμοτάτησ VP ὠμότατα S ὠμότητα W 12 ἀχαλινώτοισ D 13 μὲν om. P ἐπίμπλα V ἐμπιπλᾶ SDAW ἐνεπίμπλα P 14 καὶ παρὰ VP πιστεύσασι V πιστεύουσι P 15 πως om. VP νομίσαντες V in mg, P πιστεύσαντεσ V 16 νόσος] νομὴ W οἷά om. SDAW ἡλίω P 17 παρὰ θῡ τεθείμεθα V λαῶν] ἄλλων D 18 ἱερατικὴν W λαβόντεσ P καὶ τοῖσ SDW 19 ἐλομένοισ VD ῥομφαίασ SDAW παγίδοσ VP κατασημῆναι VP 20 γάρ φησιν SDW 21/22 καὐτὸσ S 22 βοῶσι SDW τοῦτο SnW 23 ὃν] ἦν W εἰς] τὴν W 24 ἐκείναισ W καὶ om. SDW ἡττᾶσθαι om. W 25 φαίη V προσφε-ρεστέραν S ὑμεῖς om. SDW 26 ἐνδούσησ W πίστεως om. V 27 ἡδρασμένον D 30 μόνον δὲ τὸν S οὐ] οὔτε V οὐδὲ] ἢ VP 31 αὐτῆσ S γένοιτο VP 32 ἐμοὶ V τῆσ μὲν εὐσεβείασ τῆσ ὑμετέρασ V 34 τὸν νοῦν D τοῦ χ̄ῡ VP 35 ὁ[2] om. P 35/p. 79, 1 καὶ τοῖς — γραφὰς om. P ἠκριβοκόσι V ἠκριβωμένοσ S

κόσι γραφὰς μόλις ὡς ἐν αἰνίγματι καὶ ὡς ἐν ἐσόπτρωι γνώριμος. καὶ καθά φησιν ὁ 1 Cor. 13, 12
ἱερώτατος Παῦλος, φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί, καὶ μὴν καὶ κατά γε τὸν Σο- 1 Cor. 15, 33 PG 461
λομῶντος λόγον σταγὼν στάζουσα κοιλαίνει πέτραν· τὸ γάρ τοι συχνῶς εἰς νοῦν τὸν ἀν- L III 1035
θρώπινον σταγόνος δίκην τοὺς ἀδικεῖν πεφυκότας καθίεσθαι λόγους οὐ μετρίαν ἔσθ' ὅτε,
μᾶλλον δὲ ὡς ἐπίπαν ἐργάζεται τὴν ζημίαν. ἀναγκαία τοιγαροῦν καὶ ἐπωφελὴς ἡ παρ'
ἐμοῦ γέγονεν ὑπόμνησις πρός τε ἐκεῖνον αὐτὸν τὸν παρὰ πᾶσαν ἐλπίδα Χριστῶι πολεμή-
σαντα καὶ πρός γε τοὺς ἄλλους, οἳ τὴν τοῦ μυστηρίου γνῶσιν οὐ λίαν ἠκριβωκότες τοῖς
10 τοῦ πλανῶντος λόγοις οὐ μετρίως κατεχειμάζοντο. ὅτι γὰρ ἔγραφον ἀναγκαίως, καὶ
αὐτὴ πιστώσεται τῶν πραγμάτων ἡ δύναμις. κατὰ μὲν γὰρ τοὺς ἄνωθεν καὶ παρωιχη-
κότας ἤδη καιροὺς διειστήκει θεοῦ τὰ ἀνθρώπινα. πεπλάνητο γὰρ ἡ σύμπασα γῆ καί,
καθά φησιν ὁ μακάριος Δαυίδ, πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἦν ὁ Ps. 13, 3
ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνός. ἀλλ' ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ Lc. 1, 78
ὕψους, ἐπέφανεν ἡμῖν ὁ μονογενὴς τοῦ θεοῦ λόγος καὶ συνανεστράφη τοῖς ἐπὶ τῆς γῆς, Bar. 3, 38
καθ' ἡμᾶς γεγονὼς ἄνθρωπος μετὰ τοῦ μεῖναι φύσει θεός· αὐτὸς ἡμᾶς συνῆψε δι' ἑαυτοῦ
τῶι θεῶι καὶ πατρί, περιελὼν τὸ μεσολαβοῦν καὶ ἀμνησικάκως ἀπαλλάξας τῆς διστάσης
ἡμᾶς ἁμαρτίας καὶ δικαιώσας τῆι πίστει. καὶ γάρ ἐστιν αὐτὸς ἡ εἰρήνη ἡμῶν κατὰ τὰς Eph. 2, 14
γραφάς. ἔμελλε τοίνυν ὁ τῆς πρὸς θεὸν εἰρήνης ἡμῶν σύνδεσμος διαρρήγνυσθαι παρα-
λυομένης τῆς πίστεως· ἔμελλεν ἡ τῆς δικαιοσύνης ὁδὸς ἐκ τῶν ἡμετέρων κρύπτεσθαι δια-
νοιῶν, ἵνα μή τι λέγοιμι φορτικόν. δικαιούμεθα γὰρ διὰ τοῦ ἁγίου βαπτίσματος τὸν M V 233
θάνατον τοῦ Χριστοῦ καταγγέλλοντες, προσομολογοῦντες δὲ καὶ τὴν ἀνάστασιν αὐτοῦ. Rom. 6, 4. 5
πλὴν οὐκ ἀνθρώπου κοινοῦ θάνατον καταγγέλλομεν, ὦ φιλόχριστε βασιλεῦ, ἀλλ' ἐνανθρω-
πήσαντος θεοῦ καὶ παθόντος μὲν ὑπὲρ ἡμῶν σαρκί, καθὰ γέγραπται, ζῶντος δὲ ὡς θεοῦ 1 Petr. 4, 1
καὶ τῆι ἰδίαι φύσει μεμενηκότος ἀπαθοῦς. κινδυνευούσης τοιγαροῦν τῆς Χριστιανῶν
ἐλπίδος τό γε ἧκον εἰς τοὺς τοῦ πλανῶντος λόγους καὶ τὴν ἀτεχνῆ καὶ ἀπύλωτον γλῶτταν,
ἀναγκαῖόν πως ἦν καὶ ἀπαραίτητον, βασιλεῦ, σύνοπλον ἡμᾶς ἔχοντας τὴν ἀλήθειαν τοῖς
11 τὴν ὀρθὴν ἔχουσιν ἐπαμῦναι πίστιν. τὸ δὲ δὴ μάλιστα εἰς τοῦτο ἡμᾶς παροτρῦνον
ἐλθεῖν ἐκεῖνό ἐστιν. ἐνταῦθα μὲν γὰρ οἱ μακάριοι πατέρες ἡμῶν θαρσηθέντες παρὰ θεοῦ
τὴν ἱερωσύνην ταῖς τῶν αἱρέσεων κατὰ καιροὺς ἀντετάξαντο δυστροπίαις, μάλιστα δὲ τῆι
τῶν ἀνοσίων Ἀρειανῶν, καίτοι κατ' ἐκεῖνο τοῦ καιροῦ οἱ τῶν ἀνθρωπίνων κρατοῦντες
πραγμάτων οὐκ ἤιδεισαν τὴν ἀλήθειαν, ἐφρόνουν δὲ μᾶλλον τὰ ἐκείνων καὶ τοὺς ὀδόντας PG 464
ἐπέτριζον τοῖς τῶν ἐκκλησιῶν διδασκάλοις. ἀλλ' ἦσαν ἀμείνους παντὸς ἐκεῖνοι δείματος,
τὸν ὀρθόν τε καὶ ἀνεπίπληκτον τῆς πίστεως διακηρύττοντες λόγον. ἤιδεισαν γὰρ λέγοντα
τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεννόντων τὸ Mt. 10, 28
σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν
δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννηι. ὅτε τοίνυν ἐκεῖνοι

---

V, P [= hk], S, D [= mn], AW

1 καὶ² om. VS καθὸ S 2 καὶ² om. SDW 3 τὸ γάρ τοι] τοιγάρτοι S συνεχῶσ SD τὸν νοῦν τὸν S 4 μικρὰν A 5 τοίνυν SDW 6 τε] γε SDW 7 οὐ λίαν om. W 8 τοῦ om. P ἔγγραφοσ S 9 γὰρ om. PS 10 ἤδη om. S καὶ om. S 11 ἔστι SDW ὁ om. SDW 12 χρηστότητα] ἀγαθὸν S ἔστιν SDW 13 τῆς om. SW 14 φύσει om. VP 15 περιέχων W διστώσησ SD 16 αὐτόσ ἐστιν P 17 ἔμελε V ὁ om. V 17/18 παραπολλωμένησ W 18 ἔμελεν V ὑμετέρων D 19 λέγομεν V ἁγίου] ἀνθρωπίνου W 20 τοῦ om. W προσομολογοῦμεν P αὐτοῦ om. VP 22 καθὼσ W ὡς om. VP 23 τοίνυν SDAW τῶν χριστιανῶν D 24 ἀθύρωτον SDW 25 ἦν πωσ SDAW βασιλεῖ S ἔνοπλον V τὴν om. VP 26 ἡμᾶσ πρὸσ τοῦτο VP 27 ἐλθεῖν om. W ἐνταῦθα — οἱ VP οἱ μὲν γὰρ SDAW ἡμῶν om. W θαρσήσαντεσ SDW 28 ἀντηλλάξαντο S τῆι] τὴν SW 29 τοῦ om. SDW 30 ἤδεσαν P ὀδόντασ αὐτῶν VP 31 ἐπέτρυζον D ἐκεῖνοι παντὸσ ἀμείνουσ V 32 διακηρύσσοντεσ DAW ἤδεσαν PAW λέγοντεσ S 33 τὸν χν̄ A ἀποκτενόντων VPSDW 34 φοβήθητι S 35 τῇ γεέννῃ D

τοὺς τῶν ὅλων κρατοῦντας κατ' ἐκεῖνο τοῦ καιροῦ πολεμιωτάτους ἔχοντες οὐ σεσιγήκασιν
εἰς δόξαν ἀδικουμένου τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, πῶς οὐκ ἀναγκαῖον καὶ ἡμᾶς
L III 1038 αὐτοὺς κατ' ἴχνος ἰέναι τῆς ἐκείνων ἐπιεικείας καὶ τῆς εἰς Χριστὸν γνησιότητος; πῶς οὐκ
ἔδει ταῖς τοῦ δυσφήμου φωναῖς ἀντερεύγεσθαι τὴν ἀλήθειαν; ἤιδειν, ὡ- ἔφην, τῆς εὐσε-
βείας ὑμῶν τὸ ἐρηρεισμένον· ἠπιστάμην ἀκριβῶς ὡς οὐκ ἐκεῖνος μᾶλλον ἤρεσκεν, ἀλλ'
ἐγώ. τί τὸ σιωπᾶν ἀναπεῖθον ἦν; μικροῦ με τοῦ πρέποντος ἐξέστησεν ὄκνος καὶ θεῶι
προσκροῦσαι παρεσκεύασεν. ἀλλ' ἔφην αὐτὸς ἐμαυτῶι· ἀπροφάσιστον ἔχεις, ὦ οὗτος,
τὴν σιωπήν, δεινὰ κατὰ σοῦ τὰ ἐγκλήματα παρά τε θεῶι καὶ ἀνθρώποις, εὐσεβὴς καὶ φι-
λόχριστος ὁ τῆι βασιλίδι δόξηι κατεστεμμένος παρὰ θεοῦ. καὶ μὴν καὶ αὐτὴ τοῖς ἴσοις
αὐχήμασιν ὁρᾶται διαπρεπὴς ἡ τῶν εὐκλεεστάτων βασιλίδων δυάς, ὁμογνωμονεῖ καὶ αὐτὰ
τὰ σεμνά τε καὶ ἀξιάγαστα τῆς παρθενίας βλαστήματα. οἱ στάσιν ἔχοντες τὴν ἐγγὺς
καὶ ταῖς τῶν ἀξιωμάτων ὑπεροχαῖς ἐκλελαμπρυσμένοι ὀρθῆι τε καὶ ἀδιαβλήτωι διαπρέπουσι
πίστει, λελύπηνται καὶ αὐτοὶ τῆς τοῦ σωτῆρος ἡμῶν δόξης ἀθετουμένης. εἶτα πῶς οὐ
σφόδρα νεανικῶς τὰ θεῶι δοκοῦντα πληροῖς; ἢ οὐκ ἀδρανὴς ὁ ναυτίλος, ὅταν ἐξ οὐρίας
αὐτῶι τοῦ πνεύματος καταχεομένου τῶν λίνων παραιτῆται τὸ πλεῖν; οὐχὶ ἀσθενής τε καὶ
φυγοπόλεμος εἴη ἂν ὁ τεταγμένος ἐν στρατιώταις, εἰ νικᾶν ἐξὸν τῆς τῶν ἀρίστων χειρὸς
ἐπικουρούσης αὐτῶι ῥίψασπίς τις ὁρῶιτο καὶ ἄνανδρος; ταῖς τοιαύταις ἐμαυτὸν παραθή-
M V 236 γων ἐννοίαις καὶ τῆι εὐσεβείαι τοῦ ὑμετέρου κράτους τεθαρσηκώς, ἀοκνότατα παρῆλθον
**12** ἐπὶ τὸ χρῆναι συνειπεῖν δυσφημουμένωι Χριστῶι. ἄλλως τε (χρῆναι γὰρ ἔγωγε φημὶ
προσεπενεγκεῖν οἷς ἔφην, καὶ τόδε) ἐπελέχθη Νεστόριος ὡς τοῖς ἀποστολικοῖς κηρύγμασιν
ἐγγεγυμνασμένος, ὡς τεχνίτης εἰς εὐσέβειαν, ὡς ὀρθὴν ἔχων τὴν πίστιν καὶ ἀμώμητον παν-
τελῶς, καὶ τοιοῦτον εἶναι τὸν ἄνθρωπον καὶ τὸ εὐσεβὲς ὑμῶν ἐπεθύμει κράτος, καὶ πάντες
δὲ οἱ τῶν ἁγίων ἐκκλησιῶν προεστηκότες, κἀγὼ δὲ αὐτός. καὶ γοῦν ὅτε τὰ περὶ τῆς
χειροτονίας αὐτοῦ παρὰ τῶν εἰς τοῦτο παρενεγκόντων θεοσεβεστάτων ἐπισκόπων διεπέμφθη
γράμματα, ἀντέγραφον ἀμελλητί, χαίρων ἐπαινῶν, ἐπευχόμενος ὡς ἀδελφῶι καὶ συλλειτουρ-
γῶι τὰ πάντων ἐξαίρετα τῶν ἀγαθῶν διὰ τῆς ἄνωθεν ὑπάρξαι ψήφου, ἀλλ' οὐ τῆς ἡμῶν
PG 465 φιλαδελφίας τὰ μετὰ τοῦτο κατηγορήματα, μᾶλλον δὲ τῆς ἐκείνου σκαιότητος. ἐπελέχθη
μὲν γὰρ ὡς πρόβατον, ἀλλ' εὕρηται λύκος· ὡς πιστὸς καὶ γνήσιος οἰκέτης, ἀλλ' ἠγάπησε
Ies. 5, 4 τὸ ἐναντίον· ὡς εὔβοτρυς ἀμπελών, ἀλλ' ἐκτέτοκεν ἀκάνθας κατὰ τὸ γεγραμμένον· ὡς γη-
πόνος εὐτεχνής, ἀλλ' ἐπεβούλευσε τῶι χωρίωι· ὡς ποιμὴν ἀγαθός, ἀλλὰ θηρῶν ἀγρίων γέ-
γονεν ἀπηνέστερος. εἶτα νενοσηκὼς οὐκ οἶδ' ὅπως τὴν κακοδοξίαν, νενουθέτηται πλει-
στάκις, καὶ τοῦτο παρὰ πολλῶν· ἆρ' οὖν ὠφελήθη νουθετούμενος, ἐδήχθη τὸν νοῦν ἐλεγχό-
μενος; μετεβουλεύσατο τὰ ἀμείνω, πεφρόνηκέ τι τῶν ἀγαθῶν; ἆρα μεμίσηκε τὸ ψεῦδος,
ἠγάπησε τὴν ἀλήθειαν; παρῃτήσατο τὴν τῆς ἀμαθίας ἀχλύν, ἐζήτησε δὲ τὸ φῶς; κατέληξε
τῆς κατὰ Χριστοῦ γλωσσαλγίας; τῶν ἀντειρηκότων ἐδυσωπήθη τὸ πλῆθος; ἐφείσατο πολλοὺς

---

V, P [= bk], S, D [= mn], AW

3 ἐπιέναι S  καὶ om. VP  3/4 πῶς οὐκ ἔδει om. W  5 ἐριρεισμένον P ἐρειρισμένον W  6 τί τὸ VPAW τῶ μὴ SD  ἀναπείθων A δ ἀπείθανον [ἀπίθανον D] SD δὲ ἀπίθανον W  με SDAW τὲ VP  ὄγκοσ P  8 τε om. D  9 ὑπὸ S παρά, superscr. ὑπὸ W  10 καυχήμασιν SDAW  εὐσεβεστάτων S  11 παρθένου S  τὴν om. VP  12 τε om. VP  13 ἡμῶν om. VPW  14 τὰ τῶ θω̅ W τῶ θω̅ S  15 λιμένων P  παραιτῆται DW παραιτεῖται S παραιτοῖτο PA παραιτεῖτο V  τὸ om. VP  πλέον SDW  οὐχὶ δὲ SDAW  16 φιλοπόλεμοσ S ἀφιλοπόλεμοσ D μισοπόλεμοσ W  17 τις om. SDAW  ἑαυτὸν VPW  18 τεθαρρηκὼσ SDAW  ἀοκνώτατα V  19 τῶ P  χρῆναι SAW χρῆν VP χρὴ D  20 προσενεγκεῖν V  ἔφη S  ἀποστολικοῖσ τε καὶ εὐαγγελικοῖσ DA  22 εὐσεβέσ ὑμῶν VPA ὑμέτερον SDW  κράτοσ ἐπεθύμει VP  πάντωσ P  23 οἱ τῶν — καγὼ δὲ om. P  δὲ] τε D  24 διεπέμφθη μοι W  25 ἀμελητὶ VPSDAW  εὐχόμενοσ SW  27 φιλαλληλίασ A φιλίασ V ἀφιλίασ P  28 ηὕρηται S  29 ὡς] καὶ V  εὔοτρυσ V  30 εὔτεχνοσ V  32/33 ἐδήχθη — ἐλεγχόμενος om. S  34 παρετηρήσατο Vk, h in mg.  ἀληθείασ VP  δὲ om. SDW  35 χυ̅ VPA θυ̅ SDW  γλωσαλγίασ VS

καὶ ἀναριθμήτους σκανδαλιζομένους ὁρῶν; λελύπηκεν αὐτὸν τὸ κένανδρον τῶν πεπιστευ-
κότων τὴν ἐκκλησίαν ὁρᾶν; οὐδαμῶς, καθὰ καὶ αὐτὸ τῶν πραγμάτων τὸ πέρας διαβοήσειεν L III 1039
13 ἄν. ἐπειδὴ γὰρ ἡ ἁγία σύνοδος κατὰ θέσπισμα τοῦ ὑμετέρου κράτους συναγήγερτο
πανταχόθεν κατὰ τὴν Ἐφεσίων μητρόπολιν, ἀφίκετο δὲ καὶ αὐτός, τότε δὴ τότε, καίτοι
δέον τοῖς ἤδη παρωιχηκόσιν ἐπολοφύρεσθαι καὶ κλαίειν αὐτόν, ὥσπερ οὐδενὸς ἀγανακτοῦν-
τος ὅλως ἐφ' οἷς τετόλμηκεν εἰπεῖν, ἔτι ποιούμενος τὰς διατριβὰς ἐν ἐκείνηι τῆι μεγαλωνύ-
μωι πόλει, προσετίθει τὰ χείρω· κατεφλυάρει τὰ αἰσχίονα καὶ τῆς τοῦ σωτῆρος ἡμῶν κατε-
θρασύνετο δόξης, ὀλίγου παντελῶς ἀξιώσας λόγου, μᾶλλον δὲ τοῦ μηδενὸς ὅλως τῆς εἰς
αὐτὸν δυσφημίας τὸ ἔγκλημα. οἷα γὰρ τετόλμηκεν εἰπεῖν, σιωπᾶν ἄμεινον, καὶ τοῦτο
διαλεγόμενος ἐπισκόποις ὁσίοις καὶ εὐπρεπεστάτην ἔχουσι τὴν ἐφ' ἅπασι τοῖς ἀγαθοῖς
ψῆφόν τε καὶ δόξαν, ἦσαν δὲ καὶ τῶν θείων γραφῶν ἐμπειρότατοί τε καὶ ἐπιστήμονες·
οἳ καὶ πολὺ λίαν ταῖς κατὰ Χριστοῦ δυσφημίαις ἐπηλγηκότες καὶ τὴν ἀκρατῆ καὶ ἀπύλωτον
αὐτοῦ μισήσαντες γλῶσσαν ἀπονιψάμενοί τε τὰς χεῖρας αὐτῶι ταῦτα τῆι συνόδωι δακρυρ-
ροοῦντες ἀπήγγελλον, οὐκ ἐν παραβύστωι καὶ λεληθότως, θαρσήσαντες δὲ καὶ ἐπ' αὐτῆς τῆς nr. 53
πίστεως τῶν ὑπομνημάτων εἰπεῖν καὶ ἑτοίμως ἔχοντες διελέγχειν αὐτὸν ἃ μηδὲ θέμις ἐννο-
14 εῖν, κατειρηκότα Χριστοῦ. ἔδρων δὲ τοῦτο τὴν ἐπὶ τοῦ θείου βήματος δεδιότες κρίσιν·
οὐ γὰρ ἀφιλόστοργοί τινες ἦσαν, φιλόθεοι δὲ μᾶλλον καὶ τῆς εἰς Χριστὸν ἀγάπης γνήσιοι M V 237
φύλακες. ὥσπερ γὰρ τοὺς ὑπὸ σκῆπτρα κειμένους τῆς εὐαγοῦς ὑμῶν βασιλείας ἢ γενναίους
στρατηγοὺς ἢ γοῦν καὶ ἑτέρους τινὰς τῶν ἐν ἀξιώμασι καὶ ὑπεροχαῖς λαμπρούς τε καὶ
φιλαιτάτους ὑμῖν ἀποφαίνει τὸ καθηκόντως ἀγανακτεῖν, εἰ δήπου τινὲς ἢ ἀσελγῆ καὶ ἀκό-
λαστον κατά γε τοῦ ὑμετέρου κράτους κινήσειαν γλῶτταν ἢ καὶ δρᾶν ἕλοιντό τι τῶν ἔξω
λόγου καὶ τοῦ εἰκότος, οὕτω καὶ τὸν θεῖον ἱερουργὸν ἐπαίνου παντὸς ἄξιον ἀπεργάζεται PG 468
παρά τε θεῶι καὶ ἀγγέλοις τὸ μὴ ἀνέχεσθαί τινος τῶν τῆς θείας καταφλυαρούντων δόξης,
ἐν μοίραι δὲ μᾶλλον αὐτοὺς τῶν ὅτι μάλιστα πολεμιωτάτων ποιεῖσθαι φιλεῖν. καὶ γοῦν
ὁ μακάριος Δαυὶδ αὔχημα λαμπρὸν ἑαυτῶι δὴ τοῦτο περιτιθεὶς ἀνεφώνει· οὐχὶ τοὺς Ps. 138, 21. 22
μισοῦντάς σε, κύριε, ἐμίσησα καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην;
τέλειον μῖσος ἐμίσουν αὐτούς· εἰς ἐχθροὺς ἐγένοντό μοι. εἰ μὲν οὖν
ἀγαπῶσι Χριστὸν οἱ δυσφημοῦντες αὐτόν, λογισμοῦ τοῦ πρέποντος ἁμαρτάνουσιν οἱ πολε-
μοῦντες αὐτοῖς· εἰ δὲ μισοῦσιν ἀναφανδὸν καὶ τὸ πρᾶγμά ἐστι κατ' οὐδένα τρόπον ἀμφί-
βολον, πῶς οὐκ ἀξιάγαστοι καὶ θεοφιλεῖς οἱ ταῖς ἐκείνων βδελυρίαις τὸν εὐδρανῆ καὶ φιλό-
θεον ἀντεξάγοντες λόγον;
15 Ἦν δὲ καὶ ἑτέρως χρήσιμόν τε καὶ ἀναγκαῖον τῶι ὑμετέρωι κράτει τὸ τῶν θείων
ἐλαύνεσθαι θυσιαστηρίων τὸν βεβηλοῦντα αὐτά. καὶ τίνα τρόπον; ἐρῶ, τὰ ἐκ τῆς θεο-
πνεύστου γραφῆς παρενεγκὼν εἰς πληροφορίαν. ὀλιγωρήσαντές ποτε τῶν διὰ τοῦ παν-
σόφου Μωυσέως τεθεσπισμένων οἱ ἐξ Ἰσραὴλ καὶ τῆς δοθείσης αὐτοῖς ἀλογήσαντες ἐντολῆς,
ἐτράποντο πρὸς ἀποστασίαν τὴν ἀπὸ θεοῦ καὶ προσκεκυνήκασιν εἰδώλοις καὶ τῆι στρατιᾶι 4 Reg. 17, 12. 16

---

V, P [= hk], S, D [= mn], AW

1 ὁρᾶν SD 1/2 λελύπηκεν — ὁρᾶν om. SW 1 τὸ κενὴν ἀνδρῶν D spatium ἀνδρῶν P 2 ὁρῶν P 3 γὰρ ἡμῖν SDW 4 δὲ om. D 5 κλάειν A 6/7 μεγαλοπόλει S 7 καὶ κατεφλυάρει SDW αἰσχρὰ V 9 τοῦτο VA διὰ τοῦτο SW ταῦτα PD 10 ὁσίοισ SDAW θείοισ VP ἀπρεπεστάτην S ἐκπρεπεστάτην A 12 καὶ om. W καὶ κατὰ S τῆσ κατὰ $\overline{\chi\nu}$ βλασφημίασ ἕνεκεν W 13 γλῶτταν VP 13/14 δακρυροοῦντεσ P 14 ἀπήγγελον VD 15 καὶ διελέγχειν W μὴ VP 16 ἔδρον S 17 οὐδὲ P ἀφιλόχριστοι P φιλόστοργοι S 19 τῶν VP τοὺσ SDAW 20 φιλτάτουσ VD θεοφιλεστάτουσ W ἤδη που W 21 τι om. W 22 καὶ τοῦ εἰκότος om. SDAW τῶν θείων ἱερουργῶν W 23 ἀνασχέσθαι SDAW καταφλυαροῦντα P 24 μᾶλλον αὐτοὺς] πάντωσ S 26 τοῖσ ἐχθροῖσ PDA τοὺσ ἐχθροὺσ VSW 27 οὖν om. P 28 οἱ[1] om. S 29/30 ἀμφίλογον PA 30 οἱ ταῖς] οὐ ταῖσ S αὐταῖσ W ἐκείνω S ἀδρανῆ SW, corr. W 33/34 θείασ VP 35 μωυσέοσ D μωσέωσ VA 36 ἀπόστασιν SDAW τοῦ $\overline{\theta\upsilon}$ SDW τῆι στρατιᾶι] ἄστροισ P

L III 1042 τοῦ οὐρανοῦ, καθὰ γέγραπται. ἧκον δὲ ἤδη πρὸς τοῦτο δυστροπίας οἱ τάλανες, ὡς καὶ
2 Paralip. 28, 24 αὐτὸν τὸν θεῖον καταμιᾶναι ναόν. ἠγανάκτει πρὸς ταῦτα θεὸς καὶ παρέδωκεν αὐτοὺς
εἰς χεῖρας ἐχθρῶν. ἐπειδὴ δὲ βεβασίλευκεν Ἐζεκίας, ἀνὴρ ὅσιός τε καὶ ἀγαθός, ἐπηνώρ-
θου τὰ διεπταισμένα, καὶ δὴ τὸν θεῖον διακαθάρας ναόν, προσεκόμιζεν οὕτω τὰ νενομισμένα
2 Paralip. 29, 1. 5. 6 τῶι πάντων κρατοῦντι θεῶι· γέγραπται δὲ οὕτω περὶ αὐτοῦ· καὶ Ἐζεκίας ἐβασίλευ-
σεν ὢν εἴκοσι πέντε ἐτῶν, εἶτα προσπεφώνηκε τοῖς Λευίταις· ἀκούσατε οἱ Λευ-
ῖται· νῦν ἁγνίσθητε καὶ ἁγνίσατε τὸν οἶκον τοῦ θεοῦ τῶν πατέρων ἡμῶν
καὶ ἐκβάλλετε τὴν ἀκαθαρσίαν ἐκ τῶν ἁγίων, ὅτι ἀπέστησαν οἱ πατέρες
ἡμῶν καὶ ἐποίησαν τὸ πονηρὸν ἔναντι κυρίου καὶ ἐγκατέλιπον αὐτόν.
11. 12. 15. 16 προσθεὶς δὲ τούτοις ἕτερά τινα τῶν χρησίμων τοῖς ἀκροωμένοις, ἐπιφέρει πάλιν· καὶ
νῦν μὴ διαλίπητε, ὅτι ἐν ὑμῖν ἡιρέτικε κύριος στῆναι ἐναντίον αὐτοῦ λει-
τουργεῖν καὶ εἶναι αὐτῶι λειτουργοῦντας καὶ θυμιῶντας. καὶ ἀνέστησαν
οἱ Λευῖται, φησί, καὶ συνήγαγον τοὺς ἀδελφοὺς αὐτῶν καὶ ἡγνίσθησαν
κατὰ τὴν ἐντολὴν τοῦ βασιλέως διὰ προστάγματος κυρίου καθαρίσαι τὸν
οἶκον κυρίου. καὶ εἰσῆλθον οἱ ἱερεῖς ἕως εἰς τὸν οἶκον κυρίου καὶ ἐξέβα-
M V 240 λον πᾶσαν τὴν ἀκαθαρσίαν τὴν εὑρεθεῖσαν ἐν τῶι οἴκωι κυρίου καὶ εἰς
17. 18 τὴν αὐλὴν οἴκου κυρίου. εἶτά φησι τὸ γράμμα τὸ ἱερόν· καὶ τῆι ἡμέραι τῆι
ἑξκαιδεκάτηι τοῦ μηνὸς τοῦ πρώτου συνετέλεσαν καὶ εἰσῆλθον ἔσω πρὸς
PG 469 Ἐζεκίαν τὸν βασιλέα καὶ εἶπον· ἡγνίσαμεν πάντα τὰ ἐν τῶι οἴκωι κυ-
20. 21 ρίου. γέγραπται δὲ πάλιν ὅτι καὶ ὤρθρισεν Ἐζεκίας ὁ βασιλεὺς καὶ συνή-
γαγε τοὺς ἄρχοντας τῆς πόλεως καὶ ἀνέβη εἰς οἶκον κυρίου καὶ ἀνήνεγκε
μόσχους ἑπτά, χιμάρους αἰγῶν ἑπτὰ περὶ ἁμαρτίας, περὶ τῆς βασιλείας
**16** καὶ περὶ τῶν ἁγίων καὶ περὶ Ἰσραήλ. σύνες ἐντεῦθεν, ὦ φιλόχριστε βασιλεῦ,
ὅτι καίτοι θυμιᾶσαι τῶι θεῶι προτεθυμημένος ὁ πανάριστος ἐκεῖνος καὶ ὅσιος Ἐζεκίας οὐ
πρότερον εἰσβέβηκεν εἰς τὸν ναὸν τοῦ θεοῦ καὶ τετέλεκε τὰ κατ' εὐχήν, εἰ μὴ προενετεί-
λατο τοῖς ἱερεῦσι τοῦ θεοῦ καθαρίσαι τὸν οἶκον καὶ ἐκβαλεῖν αὐτοῦ πᾶσαν ἀκαθαρσίαν·
οὗ δὴ γεγονότος ἐθυμία λαμπρῶς ἔχαιρέ τε καὶ λίαν ὀρθῶς ὡς εὐπαράδεκτον ἤδη θυσίαν
προσκομίσας θεῶι διά τοι μάλιστα τὸ τῆς ἐνούσης ἀκαθαρσίας προαπαλλάξαι τὸν ναόν. τοι-
οῦτόν τι πέπρακται καὶ παρὰ τοῦ ὑμετέρου κράτους εἰς δόξαν θεοῦ. ἔθος γὰρ ὑμῖν
θυσιάζειν ἐν ἐκκλησίαις καὶ χειρὶ πλουσιωτάτηι προσκομίζειν ἀεὶ τὰ εἰς δόξαν θεοῦ, ἀλλ'
ἦν ἀναγκαῖον προαποκαθᾶραι τὸν ναὸν μώμου τε καὶ μολυσμοῦ προαπαλλάξαι παντὸς
οὕτω τε θύειν ἐπὶ καιροῦ. μολυσμοῦ δὲ παντὸς ἐπέκεινα πρὸς διαβολὴν ἡ κατὰ Χριστοῦ
δυσφημία· ἀλλ' ἐκελεύσατε τοῖς ἱερεῦσι καὶ καθάπερ ἔφην ἀρτίως, προεξεκάθηραν ὑμῖν τὸν

---

V, P [= hk], S, D [= mn], AW

1 δυστροπίασ SDAW δυσσεβείασ VP  2 νεὼν VP  ἠγανακτήκει W  3/4 ἐπανώρθου A ἐπηνόρθου W  5 πάντων — θεῶι] παντοκράτορι P  5/6 ἐβασίλευεν V  6 ὢν om. A  ἐτῶν κ̅ε̅ W  εἴκοσι καὶ DA  εἶτα om. P  προσεφώνει V  6/7 ἄνδρεσ λεβῖται ἀκούσατε V  7 ἁγνίσατε] ἁγιάσαιτε S ἁγιάσατε D  τὸν om. SW  8 ἐκβάλετε SAW  9 ἐναντίον VP  10 καὶ ἕτερα V  11 διαλίπητε SDA διαλίπετε, ί ex εί corr. W διαλείπητε P διαλίποιτε V  αὐτοῦ] τοῦ P κ̅υ̅ τοῦ S  12 θυμιοῦντασ W  15 καὶ εἰσῆλθον — κυρίου om. P  ἕωσ εἰσ τὸν οἶκον SD ἕωσ τοῦ οἴκου W ἔσω εἰσ τὸν οἶκον VA  15/16 καὶ ἐξέβαλον — οἴκωι κυρίου om. SW  16 τῶι om. D  17 οἴκου κ̅υ̅ SW κ̅υ̅ D τοῦ οἴκου κ̅υ̅ VPA  18 ι̅ς̅ W  ἔσω om. V  19 εἶπαν S  20 ὅτι om. W  21 τὸν οἶκον P  22 χιμάρους — ἑπτὰ om. SW  καὶ χιμάρουσ VPA  23 καὶ[1] om. V  ἰλ̅η̅μ̅ S  ἐνταῦθα A  24 καίτοι] καὶ τὸ SDW  θυσιάσαι SDW  ἐκεῖνοσ καὶ ὅσιοσ A ἐκεῖνοσ SDW καὶ ὅσιοσ VP  25/26 καὶ τετέλεκε — θεοῦ] πρὶν ἢ P  26 τὸν οἶκον κ̅υ̅ SD  28 διὰ τὸ μάλιστα [μάλιστα om. V] VSDW  προσαπαλλάξαι PW  νεὼν VP  29 θεοῦ] χ̅υ̅ SDW  30 θυσιάζειν SDW θυμιάζειν A θυμιάζειν πυκάζειν VP  ἐν om. VP  ἐκκλησίασ P  θ̅υ̅ SDAW χ̅υ̅ VPS corr  31 προσαπαλλάξαι P  32 τε] δὲ V  κατὰ] τοῦ V  33 καὶ — ἀρτίωσ VPA καθάπερ — ἀρτίωσ καὶ SDW

ναόν, ἥγνισαν αὐτὸν τὴν ἀτεχνῆ καὶ ἀνόσιον παύσαντες γλῶσσαν, ἵν' ὑμεῖς εὐδοκιμῆτε
μειζόνως παρά τε θεῶι καὶ ἀγγέλοις καὶ ἀνθρώποις.
17 Ἡ μὲν οὖν ἁγία καὶ οἰκουμενικὴ σύνοδος καὶ τὸν τῶν ὅλων σωτῆρα Χριστὸν
εὐφραίνουσα καὶ τῆι εἰς αὐτὸν πίστει συναγορεύουσα, μόνον οὐχὶ λέγουσα ζηλοῦσα ἐζή- L III 1043
λωκα τῶι κυρίωι κατὰ τὸ γεγραμμένον, ἐκ μέσου γενέσθαι παρεσκεύασε τοῦ σκανδάλου 3 Reg. 19, 14
τὴν ἀφορμήν· οὓς δὲ ἦν εἰκός, μᾶλλον δὲ καὶ ἀναγκαῖον καὶ συνάρασθαι νεανικῶς καὶ
συναθλῆσαι προθύμως τοῖς πεπονηκόσι καὶ μερίσασθαι μεθ' ἡμῶν τῆς διὰ Χριστὸν εὐαν-
δρίας τὰ γέρα, τὸν αὐτὸν ἡμῖν ἀναλαβόντας ζῆλον καὶ θεοφιλοῦς εὐψυχίας τὸν οἰκεῖον
ἀναπιμπλῶντας νοῦν, οὗτοι γεγόνασι σκληροὶ καὶ ἀφιλοικτίρμονες καὶ τῆς τοῦ δυσφήμου
σκαιότητος κατ' οὐδὲν ἐν μείοσι, λελυπημένοι δὲ καὶ ἀλγήσαντες, οὐχ ὑπέρ γε μᾶλλον τῆς
δόξης Χριστοῦ, ἀλλ' ὑπὲρ τοῦ πλεῖστά τε καὶ ἀνοσίως κατ' αὐτοῦ πεφλυαρηκότος, τῶν
γνησίων κατεστρατεύοντο μαχητῶν καὶ τοῖς τὰ Χριστοῦ φρονεῖν ἐθέλουσιν ἀντεφέροντο,
δι' ὧν δρᾶσαι τετολμήκασι, μόνον οὐχὶ κεκραγότες· τί τὴν ἀσελγῆ καὶ ἀχάλινον ἐπαύσατε
γλῶσσαν καὶ τὸ τοῦ προβάτου περιελόντες κώδιον τὸν ἅρπαγα λύκον τοῖς ἁπανταχοῦ Mt. 7, 15
γνώριμον κατεστήσατε; τὸ γὰρ ἐφ' οἷς ἐκεῖνος ἐλήλεγκται δυσφορεῖν ἕτερον οὐδέν, ὥς γε
18 οἶμαι, πλὴν ὅτι τουτὶ διακεκραγότων ἐστίν. ὁ γάρτοι τῆς Ἀντιοχέων ἐκκλησίας προ- PG 472
εστηκὼς ἀπελιμπάνετο μὲν τῆς ἁγίας συνόδου, καίτοι παρεῖναι κεκελευσμένος κατά γε τὴν d. 7. m. Iun.
ὁρισθεῖσαν ἡμέραν παρὰ τοῦ ὑμετέρου κράτους, ἀνεδύετο δὲ τὴν ἄφιξιν ταῖς τοῦ πεφλυ- 431
αρηκότος κατὰ Χριστοῦ δυστροπίαις τὴν μέλλησιν χαριζόμενος, μᾶλλον δέ, ὡς εἰκός, ἢ καὶ M V 241
ἀληθῶς καὶ ἀναμφιλόγως ἐκείνωι τὰ ἴσα φρονῶν. ἕκτης γὰρ ἐπὶ δεκάτηι διαγενομένης
ἡμέρας, ἧκον τινὲς μόλις τῶν σὺν αὐτῶι, τῶν ἄλλων οἱ προύχοντες (μητροπολῖται δὲ οὗτοι),
καὶ δὴ καὶ ἀπήγγελλον ὡς παρ' αὐτοῦ τῆι ἁγίαι συνόδωι μὴ δὴ χρῆναι πάντως ἀναμένειν
αὐτοῦ τὴν ἄφιξιν, πληροῦν δὲ μᾶλλον ἐπείγεσθαι τὰ τεθεσπισμένα. τότε δὴ μόλις ἡ d. 22 m. Iun.
ἁγία σύνοδος συνηγήγερτο μὲν ἐν τῆι ἁγίαι ἐκκλησίαι τῆι καλουμένηι Μαρίαι, σύνεδρον δὲ 431
ὥσπερ καὶ κεφαλὴν ἐποιεῖτο Χριστόν· ἔκειτο γὰρ ἐν ἁγίωι θρόνωι τὸ σεπτὸν εὐαγγέλιον,
μόνον οὐχὶ καὶ ἐπιφωνοῦν τοῖς ἁγίοις ἱερουργοῖς· κρίμα δίκαιον κρίνατε, δικάσατε Zach. 7, 9
τοῖς ἁγίοις εὐαγγελισταῖς καὶ ταῖς Νεστορίου φωναῖς. κοινῆι δὴ οὖν τῆι παρὰ πάντων
ψήφωι τὰ μὲν ἐκείνου κατεκρίνετο, τῆς δὲ ἀποστολικῆς τε καὶ εὐαγγελικῆς παραδόσεως τὸ
ἀκραιφνὲς ἐδείκνυτο κάλλος καὶ τῆς ἀληθείας ἡ δύναμις ἐκρατύνετο. ὡμολογεῖτο γὰρ
παρὰ πάντων ἡ ὀρθή τε καὶ ἀδιάβλητος πίστις, τοῦτο καὶ ὑμῖν δοκοῦν, ὦ φιλόχριστοι βα-
σιλεῖς· ὅλος γὰρ ὑμῶν ὁ σκοπὸς εἴς τε τὸ θεῶι δοκοῦν καὶ εἰς εὐσέβειαν βλέπει· προτε-
19 τιμήκατε γὰρ πώποτε τῆς ἀληθείας οὐδέν. ὁ δὲ τῆς Ἀντιοχέων ἐκκλησίας προεστάναι
λαχὼν Ἰωάννης, ὁ μελλητὴς καὶ ῥάθυμος καὶ ἀνεξίκακος μὲν ἀδικουμένου Χριστοῦ, ὀξὺς δὲ
καὶ μισοπόνηρος, ὅτε τῆς κατ' αὐτοῦ γλωσσαλγίας ὁ ταύτην κεκινηκὼς ἐπράττετο δίκας,

V, P [= hk], S, D [= mn], AW

1 ἁγνίσαντεσ SDW αὐτῶν S γλῶτταν D ἡμεῖσ SW 3 τε καί[1] VPA 4 συνηγοροῦσα SDW δὲ οὐχὶ P οὐχὶ δὲ SDW 5 παρεσκεύασε γενέσθαι A 6 ἦν om D καὶ ἀναγκαῖον καὶ PDAW καὶ ἀναγκαῖον V ἀναγκαῖον καὶ S καὶ[3] om. S 7 πεπονηκόσι] ἠθληκόσι P διά] εἰσ SW 8 ἡμῖν om. P 9 ἀναπιμπλάντασ PD ἀναπιμπλάντεσ S 10 μείοσι VPA μειώσει SDW δέ] τέ W μέν SD γε] δὲ SDW 11 τοῦ $\overline{χυ}$ VW 12 τοῦ $\overline{χυ}$ V 13 ἐπαύσαντο A 14 γλῶτταν V om S 15 ἐφ' — ἐκεῖνοσ PA ἐφ' — ἐκεῖνο V ἐκεῖνον [κἀκεῖνον W] ἐφ' οἷσ SDW ἐλήλεκται SW 16 τουτὶ διακεκραγότων] τῶν ἀντιδιακεκραγότων W τῆσ τῶν W 17 γε om. SDW 19 μέλησιν VSDW 20 ἀναμφιβόλωσ SDW τὰ ἴσα ἐκείνω φρονῶν W τὰ ἴσα φρονῶν αὐτῶ S δεκάτην V διαγεναμένησ S 22 ἀπήγγελον VhD 23 τά τε θεσπίσματα W τὰ θεσπίσματα S 25 σεπτὸν om. V 26 καὶ om. V ἐπιβοῶν V 28 κατέκρινε SDW εὐαγγελικῆσ τὲ καὶ ἀποστολικῆσ SDW 29 ὡμολόγητο VSDW ὡμολόγηται P 30 ἡ om. PW, corr. W ἡμῖν V 30/31 φιλόχριστε βασιλεῦ S 31 ἡμῶν V τὸ τῶ SDW 31/32 προτετίμηκε VP 33 ὁ μελλητὴσ PA ὁ ἀμελητὴσ W ἀμελητὴσ VSD δὲ] τὲ SDW 34 γλωσαλγίασ S

πτηνοῦ τινος δίκην τὴν Ἐφεσίων καταλαβὼν καὶ ὥσπερ ἐνὸν ἐπ' ἐξουσίας αὐτῶι τὰ ὅσα-
περ ἂν βούλοιτο, δρᾶν, οὐδενὸς ἐπιτιμῶντος ὅλως, ὡς ἀνῃρημένων εἰς ἅπαν τῶν τῆς
ἐκκλησίας θεσμῶν, ὡς οὐκ ἐφορῶντος θεοῦ τὰ ἀνθρώπινα καὶ ἀλογίαι μᾶλλον ἢ φρονήσει
L III 1046 διοικούμενος καὶ θυμῶι δοὺς τὸ πλέον ἢ λογισμῶι τῶι σώφρονι κρατεῖν ἐπιτρέψας, ἄρτι
nr. 151 καὶ μόλις τοῦ ὀχήματος ἀποπηδήσας καὶ τὸ δωμάτιον εἰσδὺς ἔτι τε κεκονιαμένος ψῆφον
ἐκφέρει σαθράν τε καὶ ἐκνομωτάτην, ὁμοῦ τοῖς τὰ αὐτὰ φρονοῦσιν αὐτῶι· ἄνδρες δὲ
ἦσαν ἀπόλιδες καὶ καθῃρημένοι καὶ οἱ τῆς Νεστορίου φρενοβλαβείας ὑπασπισταὶ καὶ ἐκ
πολλῆς ἄγαν ἐμβροντησίας μεριζόμενοι σὺν αὐτῶι τῆς κατὰ Χριστοῦ δυσφημίας τὰ ἐγκλή-
ματα. ὑβρίζει τοίνυν ἅπασαν μὲν τὴν ἁγίαν σύνοδον, τῶι τῆς ἀκοινωνησίας ὀνόματι
περιβαλὼν τοὺς ἐκ πάσης ἥκοντας τῆς ὑπ' οὐρανόν, ἄνδρας ἀοιδίμους καὶ τῶι ὑμετέρωι
κράτει γνωριμωτάτους καὶ πολλὴν λαχόντας ἐφ' ἅπασι τοῖς ἀρίστοις τὴν εὐφημίαν· ἐμὲ δὲ
καὶ τὸν τῆς Ἐφεσίων ἱερουργὸν φορτικωτέραι περιβέβληκεν ὕβρει, ψευδηγορῶν καὶ λέγων
PG 473 ὡς τὰ τοῦ δυσσεβοῦς Ἀπολιναρίου πεφρονήκαμεν καὶ τοῖς Ἀρείου καὶ Εὐνομίου βδελυροῖς
τε καὶ ἀνοσίοις συναινοῦμεν δόγμασιν. ἔδρα δὲ τοῦτο, ὡς ἔφην, πάντα κάλων ἀνασείων
ταῖς ἀτιθάσοις ὀργαῖς καὶ ὅλας ὥσπερ ἡνίας ἀνεὶς τοῖς ἐκ θυμοῦ καὶ ὑπεροψίας ἀφιλο-
20 θέοις κινήμασιν, ὃ δὴ καὶ θαυμάσας ἔχω. ὁ γὰρ ἀεὶ φίλος καὶ ἀγαπητός, ὁ μηδεπώποτε
τοῖς ἐμοῖς ἐπισκήψας λόγοις, ὁ γράφων ἀσμένως καὶ τὰ παρ' ἐμοῦ κομιζόμενος γράμματα,
M V 244 ὁ πρὸ αὐτῶν τῶν τῆς Ἐφέσου πυλῶν τοῖς τῆς ἀγάπης προσφθέγμασι μόνον οὐχὶ περιφὺς
ep. 30 καὶ ταῖς ἰδίαις ἐπιστολαῖς ἐνθείς· Τῶι δεσπότηι μου τῶι θεοφιλεστάτωι καὶ ἁγιωτάτωι
συλλειτουργῶι Κυρίλλωι ἐν κυρίωι χαίρειν. Οὐδὲ ἐμὲ μετρίως δάκνει τὸ ὅλως τῆς ὑμε-
τέρας ὁσιότητος εἰς τὴν Ἔφεσον παραγενομένης τὰς μικρὰς ταύτας ὑστερῆσαι ἡμέρας·
τῆς γὰρ χρείας ὁ περὶ τὴν σὴν ἁγιωσύνην πόθος πλέον μοι ἔγκειται συντόνως τὴν ὁδὸν
ἐξανύσαι, καὶ μεθ' ἕτερα· εὔχου οὖν δέσποτα, καὶ ταύτας τὰς πέντε ἢ ἓξ μονὰς καὶ ἀλύ-
πως ἡμᾶς ὁδεῦσαι καὶ δραμεῖν καὶ περιπτύξασθαι τὴν ἱερὰν ἡμῖν καὶ ὁσίαν κεφαλήν.
οἱ περὶ τὸν κύριόν μου τὸν θεοφιλέστατον ἐπίσκοπον Ἰωάννην Παῦλον Μακάριον προσ-
φθέγγονταί σου τὴν ὁσιότητα. πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ
πλεῖστα προσαγορεύομεν. ἐρρωμένος ὑπερευχόμενος ἡμῶν διατελοίης, δέσποτα θεοφιλέ-
στατε καὶ ὁσιώτατε. πῶς οὖν ὁ συλλειτουργόν τε καὶ ἀδελφὸν ὀνομάσας ἀδοκήτως ἦν
21 ἐχθρός, ἠδικημένος οὐδέν; ἀκούω δὲ σοφὸν οἴεσθαί τι λέγειν αὐτόν, τῆς κατ' ἐμοῦ πλημμε-
λείας ἀποκρουόμενον τὰ ἐγκλήματα, ὅτι γέγραφα κρύπτων ἔτι τὴν ἔχθραν καιρῶι τε τῶι
δέοντι ταμιευόμενος τὴν φανέρωσιν. εἶτα πῶς εἴπερ ἤμην αἱρετικὸς ἐγὼ καὶ τῆς τοῦ
δυσσεβοῦς Ἀπολιναρίου καὶ μὴν καὶ Ἀρείου καὶ Εὐνομίου φαυλότητος κοινωνός, συλλειτουρ-
γὸν ὠνόμαζε; τί δὲ καὶ ὁσίαν καὶ πρός γε τούτωι καὶ ἱερὰν τὴν ἐμὴν ἐκάλει κεφαλήν; ἢ

---

V, P [= hk], S, D [= mn], AW

1 πτηνοῦ τινοσ PA πλὴν οὗτινοσ SDW πτηνοῦ V ὑπ' SW ἐξουσίαισ SDA τὰ VPA τὸ SDW 1/2 ὅσαπερ ἂν] ὅσα S 2 εἰς ἅπαν τῶν] ἀπάντων W 4 διοικούμενα W δοὺς om. W τῶι om. W 5 ἐπιπηδήσασ D εἰσδὺσ] εἰσ δύο S τε om. VPS κεκονιμένοσ P 6 τε om. VP ἔκνομον D ἔκνοον SW δὲ om. S 7 καθηρημένοι P κελεστιανοὶ καθηρημένοι SDAW καθηρημένοι καὶ κελεστιανοὶ καθηρημένοι V καὶ² om. V ὑπερασπισταὶ W 8/9 τῆς — ἐγκλήματα om. W 9 τοίνυν — μὲν VA μὲν ἅπασαν PSDW 10 τοὺς — οὐρανόν om. V 12 περιέβαλεν VP 13 ἀπολλιναρίου S 14 τε om. SW 15 ἀτιθάσσοισ PD W^corr ὁρμαῖσ W 15/16 οὐ φιλοθέοισ P 16 θαυμάσαι V μηδέποτε D 17 ἐπισκώψασ VPW 18 τῆσ SDAW ἐξ VP ἀγάποισ P, corr. **k** 20 κυρίλλω SDW κυρίλλω ιω̅ VPA 21 ἐφεσίων VP 23 οὖν] ὦ D ε̄ ἢ ξ̄ S καὶ PA ὥστε V om. SDW 24 διοδεῦσαι W καὶ² om. P ὑμῶν W ὁσίαν VPA θείαν SDW 25 ιω̅ παῦλοσ μακάριοσ W 28 ὁσιώτατε VP ἁγιώτατε SDAW τε om. V 28/29 ἀδοκήτως — οὐδέν om. SW 30 ἔτι] ἔνδον P τε AW δὲ VP om. SD 30/31 τῶι δέοντι om. V 31 ἦν VP καὶ om. P τοῦ om. A 32 ἀπολλιναρίου S μὴν καὶ om. VP 33 ὀνομάζει SW γε om. SDAW τὴν ἐμὴν ἐκάλει [καλεῖ P] VPA ἐκάλει τὴν ἐμὴν SDW

οὐχ ἅπασιν ἐναργὲς ὡς εἴπερ τις ἕλοιτο φρονεῖν τὰ βαρβάρων, οὗτος ἔσται πάντως τῆς
εὐαγεστάτης ὑμῶν βασιλείας ἐχθρός; ἀλλ' ἔκρυπτεν, ὥς φησι, τὴν ἔχθραν καὶ γλυκὺς μὲν
ἦν τό γε ἧκον εἰς λόγους, δόλου δὲ καὶ πικρίας ἐπίμεστος τὴν καρδίαν. εἶτα τίς ὁ
ἐπαινέσαι τολμῶν τὸν οὕτω ζῆν εἰωθότα; ἆρα βούλεται τοὺς Ἑλλήνων ἡμᾶς πολυπραγμο-
νῆσαι λογάδας; ἀλλὰ κἀκεῖνοι μεμισήκασι τὸν ἑτερόγλωσσον καὶ ἑτερογνώμονα. ἐξετά- L III 1047
σωμεν τῆς θεοπνεύστου γραφῆς τὸν σκοπόν, ἀλλὰ θεοῦ λέγοντος ἀκηκόαμεν ἐναργῶς περὶ
τῶν ὁμοτρόπων ἐκείνωι· βολὶς τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν, δόλια τὰ ῥή- Ier. 9, 8. 9
ματα τοῦ στόματος αὐτῶν· τῶι πλησίον αὐτοῦ λαλεῖ εἰρηνικὰ καὶ ἐν
ἑαυτῶι ἔχει τὴν ἔχθραν. μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι, λέγει κύριος, ἢ
ἐν λαῶι τοιούτωι οὐκ ἐκδικήσει ἡ ψυχή μου; δόλος γὰρ καὶ ἀπάτη καὶ κεκρυμ-
μένη πικρία μεμίσηνται παρὰ θεῶι καὶ τὸ λαλεῖν μὲν εἰρηνικά, διακεῖσθαι δὲ δυσμενῶς PG 476
ἀφόρητόν τι χρῆμα λελόγισται παρ' αὐτῶι· τοιγάρτοι καὶ ἐκδικεῖν ἐπαγγέλλεται.

**22** Προφασιζόμενος δὲ ἴσως προφάσεις ἐν ἁμαρτίαις κατὰ τὸ γεγραμμένον ὁ νεανικὸς Ps. 140, 4
εἰς ὕβρεις καὶ τεχνίτης εἰς συκοφαντίας ποιήσεταί τινα πρὸς τοῦτο λόγον, οὐκ ἄκομψον
ἴσως, ὥς γε οἴεταί τε καὶ φρονεῖ. φησὶ γὰρ ὅτι κἀγὼ ἐζήλωκα τῶι κυρίωι, καθὰ 3 Reg. 19, 14
καὶ ἡ ἁγία σύνοδος, αἱρετικοὺς δὲ ὄντας ὑμᾶς ταῖς παρ' ἐμαυτοῦ λελύπηκα ψήφοις. ὅτι
δὲ ταῦτα λέγων ἐκείνοις ἔσται προσεοικώς, οὓς καὶ ὁ προφήτης ἡμῖν Ἡσαίας εἰσκεκόμικε
λέγοντας ἐθέμεθα ψεῦδος τὴν ἐλπίδα ἡμῶν καὶ τῶι ψεύδει σκεπασθησό- Ies. 28, 15
μεθα, κἂν εἰ μή τις λέγοι τυχόν, αὐτὰ βοήσει τὰ πράγματα. πρῶτον μὲν γὰρ ὑπέρο-
φρύς τε καὶ ἀλαζὼν εὑρεθήσεται τοὺς κατὰ πᾶσαν ὄντας τὴν οἰκουμένην ἁγίους ἱερουργοὺς M V 245
ὕβρει τε περιβάλλων καὶ ῥάβδωι μιᾶι καταπαίων· ἀκοινωνήτους γὰρ εἶναι προστέταχεν,
οὐκ ἐκείνους μᾶλλον διὰ τούτου λυπῶν, ἀλλ' ἑαυτὸν ἔξω τῆς πρὸς αὐτοὺς κοινωνίας τι-
θείς. ἔθος γάρ πως ἀεὶ τοῖς ὀλιγογνώμοσιν οἴεσθαι μὲν ὅτι πλήττουσί τινας δρᾶν
ἐπιχειροῦντες ἃ μὴ θέμις ἔσθ' ὅτε, ἑαυτοὺς δὲ μᾶλλον ἢ ἑτέρους ἀδικεῖν. πῶς δὲ ἦν
ἀκόλουθον καὶ τοῖς προύχουσιν ἐπιτιμᾶν καὶ τοῖς τὴν ἀμείνω λαχοῦσι τάξιν ἀσυνέτως
ἐπιπηδᾶν καὶ τῶν τῆς ἐκκλησίας θεσμῶν τὴν τῆς εἰρήνης προμνήστριαν καταλιπεῖν εὐταξίαν
καὶ μηδὲ αὐτὴν ἀπομιμεῖσθαι φιλεῖν τῶν ἐν κόσμωι τὴν ἐπιστήμην; μέτρα μὲν γὰρ τοῖς
ἀξιώμασι τὸ εὐσεβὲς ὑμῶν ὡρίσατο κράτος, ἕκαστος δὲ τῶν τετιμημένων τὴν ἑαυτοῦ τάξιν
οὐκ ἠγνοηκὼς εἴκει τε τῶι προύχοντι καὶ περὶ τῶν ἴσων οὐ φιλονεικεῖ. ὁ δὲ καὶ τοῦτο
παρεὶς ὡς ἕωλον καὶ ἀλογήσας τοῦ πρέποντος ἀχαλίνοις ὥσπερ καὶ ἀπερισκέπτοις ὁρμαῖς
κεχώρηκε κατὰ πάντων καὶ τῆς πρὸς ἅπαντας κοινωνίας ἑαυτὸν ἐκβαλὼν οἴεταί τι δρᾶσαι
τῶν ὀνησιφόρων αὐτῶι. ἀλλ' εἴπερ ὄντως ἐμὲ καὶ τὸν τῆς Ἐφεσίων ἱερουργὸν αἱρετι-
κοὺς ὄντας ἠπίστατο, τί τὸ κωλῦον ἦν καὶ πρὶν εἰς τὴν Ἐφεσίων ἀφικέσθαι πόλιν, αἰτιά-
σασθαι διὰ γραμμάτων, ἐμφανῆ καταστῆσαι τὰ ἐφ' οἷς ἦν αὐτῶι καθ' ἡμῶν ὁ λόγος;
ἀφιγμένον δὲ εἰς τὴν Ἐφεσίων τί κεκώλυκε συντυχεῖν, αἰτιάσασθαι μετὰ παρρησίας, εἰς
μέσον ἀγαγεῖν τὰ ἐγκλήματα, συνεδρεύοντα τῆι ἁγίαι συνόδωι καλέσαι πρὸς ἀπολογίαν

---

V, P [= hk], S, D [= mn], AW

3 πικρείασ P εἶτα om. D οὕτω W 4 τοὺς] τοῦ S 6 ἀλλὰ om. SDW 7 ἡ γλῶσσα om. P 8 αὐτοῦ οὐ S 9 κσ λέγει S 10 ἔθνει SDW τῶ τοιούτω VP ἐκδικεῖ VP 11 μεμίσηται SDW τῶ θῶ W 12 ἀδικεῖν S 13 κατά γε τὸ A νεανικόσ PAW νεανίσκοσ VSD 14 ὁ τεχνίτησ VP πρὸς τοῦτο om. V πρὸσ τοῦτον SW 15 φωνεῖ SW 16 ἑαυτοῦ A 17 ὑμῖν S κεκόμικε SW 18 ἐν τῶ SDAW 19 λέγει W βοῶσι SDAW 20 τε om. VP τίσ W 21 περιβάλλων SW περιβαλὼν VPDA γὰρ] δὲ V 23 πως om. S μὲν om. SDW 24 ἐπιχειροῦντασ S μὴ δὲ SW ἀδικοῦσι A 25 ἐπιτιμᾶν — λαχοῦσι om. P 26 προμνήστορα V καταλυπεῖν A 27 καὶ om. V αὐτῶν V τῶ κόσμω V 29 περὶ om. SDW ὁ δὲ] οὐδὲ S 30 αἴολον, αι in ε corr. W ἀπερισκέπτοις] ἀπεριφάνοισ S 32 ἑαυτῶ VP 33/34 αἰτιᾶσθαι P αἰτιᾶσθε V 34 καὶ ἐμφανῆ SD 35 ἀφιγμένων SD καὶ αἰτιᾶσθαι καὶ P 35/36 εἰς — καλέσαι] εἰσκαλέσαι S 36 καὶ συνεδρεύοντα P

οὕτω τε ὁμοῦ τοῖς ἄλλοις ἢ ἀπαλλάξαι τῆς αἰτίας ὀρθὰ φρονοῦντας καὶ λέγοντας ἢ γοῦν ὑποθεῖναι ψήφωι δικαίαι τὰ τοῖς τῆς ἐκκλησίας ἀπάιδοντα δόγμασι φρονεῖν ἠιρημένους;
23 ἐπειδὴ δὲ ἠπίστατο μάτην ἐγκαλῶν καὶ συντιθεὶς ἀνοσίως τὰς κατὰ τῶν ὀρθοδόξων συκοφαντίας καὶ τῆι πρὸς Νεστόριον αἰδοῖ καὶ φιλίαι τὰ καθ' ἡμῶν δωρούμενος, λεληθότως
L III 1050 ἠδίκει καὶ καθάπερ ἐν νυκτομαχίαι τετόξευκεν οὐχ ὁρώμενος καὶ ψευδηγορίας μεστὸν συν-
ep. 153 PG 477 τάξας χαρτίον τετόλμηκεν ἀνενεγκεῖν εἰς τὰς εὐσεβεῖς ὑμῶν ἀκοάς, οὐδὲ ἐκεῖνο λαβὼν εἰς
Prou. 24, 22b νοῦν τὸ παρὰ τῆι θείαι κείμενον γραφῆι μηδὲν ψεῦδος ἀπὸ γλώσσης βασιλεῖ λε-
ep. 87 γέσθω. ἡμεῖς δὲ τοῦτο μαθόντες βιβλίων ἐπίδοσιν πεποιήμεθα τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι, τὴν μὲν ὀρθὴν καὶ ἀβέβηλον τῆς ἐκκλησίας ὁμολογοῦντες πίστιν, ἀναθεματίζοντες δὲ τοὺς τὰ Ἀρείου καὶ Ἀπολιναρίου καὶ Εὐνομίου φρονοῦντας, παρεκαλοῦμεν δὲ κατὰ τοὺς τῆς ἐκκλησίας θεσμοὺς ἥκειν τε αὐτὸν εἰς μέσον τοῖς ἰδίοις συστησόμενον λόγοις καὶ διελέγχειν ἡμᾶς. ἔννομα δὲ ἦν, ὥς γε οἶμαι, τὰ παρ' ἡμῶν· ὁ δὲ εἰς τοῦτο κατώλισθεν ἀμαθίας, μᾶλλον δὲ δειλίας τε καὶ ἀπορίας, ὡς καταναρκῆσαι τὴν ἄφιξιν καὶ μηδὲ ὅσον ἰδεῖν καταθαρσῆσαι τὴν ἁγίαν σύνοδον. καίτοι ἐχρῆν δήπου μᾶλλον ἐνστῆναι νεανικῶς καὶ τὴν κλῆσιν οὐκ ἀναμείναντα δραμεῖν αὐτόμολον, ἐλέγξαι σαφῶς, ἀποφῆναι κατεγνωσμένους καὶ ταῖς ἰδίαις αὐτὸν ἐπαγωνίσασθαι ψήφοις. ἀλλ' οὐκ ἔδραμεν εἰς τοῦτο σαθρῶι συνειδότι χρώμενος, δεδιὼς δὲ οὕτω τὴν ἄφιξιν τὴν εἰς τὴν ἁγίαν σύνοδον, ὡς μηδὲ ὅσον εἰπεῖν τῆς ἑστίας προκύψαι τολμᾶν. καίτοι πῶς ἦν εἰκὸς τοὺς ἐξειλεγμένους
M V 248 Zach. 7, 9 ἱερουργούς, μεμνημένους ἱερουργίας, μεμνημένους θεοῦ λέγοντος κρίμα δίκαιον κρί-
Deut. 1, 17 νατε καὶ οὐ λήψηι πρόσωπον ἐν κρίσει, ὅτι ἡ κρίσις τοῦ θεοῦ ἐστι, μὴ οὐχὶ πάντηι τε καὶ πάντως ἐληλεγμένους ἡμᾶς ὡς αἱρετικοὺς ταῖς τῆς κατακρίσεως ὑποθεῖναι ψήφοις; ἦν γάρ πως ἀνάγκη καὶ ὑπομνημάτων συστῆναι πρᾶξιν καὶ ταῦτα ὑμῖν γενέσθαι καταφανῆ. χώραις μὲν γὰρ ὅλαις καὶ πόλεσι ταῖς μεγάλαις νεύματι τοῦ ὑμετέρου κράτους εἷς ἀναδείκνυται δικαστής, θαρσεῖται δὲ κρίσεις καὶ τὰς ἐφ' αἵματι καὶ ψυχῆι δέδιέν τε τοὺς νομοθετοῦντας ὑμᾶς καὶ τοῖς παρ' ὑμῶν θεσπίσμασι πρὸς τὴν τοῦ δικαίου θήραν ἀπευθύνεται· εἶτα πῶς ἔμελλον οἱ παρὰ θεοῦ πρὸς ἱερουργίαν ἐξειλεγμένοι τοσοῦτοί τε ὄντες τὸν ἀριθμὸν καὶ οὐκ ἀθαύμαστον ἔχοντες τὴν ὑπόληψιν τὴν ἐπί γε φημὶ τῶι βιῶναι λαμπρῶς ἡμᾶς αἰδεσθῆναι μᾶλλον καὶ οὐχὶ τὴν θείαν ἐντολήν;
24 Ὅτι δὲ ἀχάλινος αὐτῶι πρὸς ὑπεροψίαν τε καὶ ὕβριν γέγονεν ὁ νοῦς, καὶ δι' ἑτέρων πραγμάτων ἀταλαίπωρον ἰδεῖν. τρίτον μὲν γάρ που διατετέλεκεν ἔτος δυσφημῶν ἐπ'
Coll. Ver. 3. 4 ἐκκλησίας ὁ τῶν νέων δογμάτων εὑρετὴς Νεστόριος· ἐπειδὴ δὲ καὶ δι' οἰκείων γραμμάτων τῶι ὁσιωτάτωι τῆς Ῥωμαίων ἐκκλησίας ἐπισκόπωι Κελεστίνωι καταφανῆ τῆς ἑαυτοῦ διανοίας ἐποίει τὴν νόσον, οὐκ ἀπότομον, οὐκ ἀσυμπαθῆ τὴν ψῆφον ὑπέμεινε, παρεκαλεῖτο

---

V, P [= hk], S, D [= mn], AW

2 τῆσ ἐκκλησίασ VP ἐκκλησιαστικοῖσ SDAW  3 κατὰ om. P  4 τὸν νεστόριον W  τὰ om. P  λοιδορούμενοσ W  6 ἐτόλμησεν S  ἀκοὰσ ὑμῶν A  οὔτε PA οὔτ' V  7 μὴ δὲ SW  8 ἐπίδοσιν om. D  8/9 συνόδω καὶ οἰκουμενικῆ S  9 ἀβέβηλον] βεβαίαν SW γράφεται καὶ βέβαιον W in mg.  10 ἀπολλιναρίου S  11 τῆς ἐκκλησίας] ἐκκλησιαστικοὺσ W  12 ἐλέγχειν A  13 τε om. SDAW  14 καταθαρσῆσαι VPW καταθαρσῆσαι μόνον SDA μόνον καταθαρσῆσαι Wcorr  χρῆν P  δήπου VPA σπουδῆ SDW  ἐκστῆναι S  15 κλῆσιν] ἐκλησίαν W  16 ἐπαγωνίσασθαι SDW ἐναγωνίσασθαι A καταγωνίσασθαι VP  ἔδραμεν εἰσ SDAW ἔδρασε VP  17 σαθρῶ VPA κακῶ SDW  18 ἑστίας] εἰσόδου P  τοὺς om. P  19 ἱερουργίασ μεμνημένους om. SDAW  20 λήψεσθε SDW  ἡ om. P, corr. k  21 τε om. V  κρίσεωσ SDW  22 ἡμῖν D  23 ὅλαις om. SDW  24 θαρσεῖται VAW θαρσεῖτε PSD  δὲ VPA δὲ καὶ SDW  καὶ[1] SDA om. VPW  25 δέδιέ τε VA δεδίενται SW δεδιέναι D δέδιε δὲ P  νομοθέτασ W  ἡμᾶσ SDW  ἡμῶν W  26 ἀπευθύνετε D  ἤμελλον V  ἱερουργίασ A  27 φημι] μὴν W  τὸ W  29 δὲ] καὶ S  ὑπεροψίασ SDA  ὕβριν VPWcorr ὕβρεισ SDAW  31 ἐκκλησίαισ W  32 κελεστίνω ἐπισκόπω S  αὐτοῦ W ἑαυτῶν S  33 ποιεῖται SDW  τὴν νόσον] τὸν νοῦν P  οὐκ] οὐδὲ SD

δὲ μᾶλλον ἀποφοιτῆσαι μὲν τῆς ἐνούσης κακοδοξίας αὐτῶι καὶ τὴν ὀρθὴν καὶ ἀμώμητον
ἀνθελέσθαι πίστιν, παρεκαλεῖτο δὲ οὐχ ἅπαξ, ἀλλὰ καὶ πλειστάκις. ὁ δὲ ἀκριβής, ὡς
οἴεται, τῶν θείων δογμάτων ἐρευνητής, ἵνα μή τι λέγοιμι φορτικόν, ὁ μέγα φρονῶν ἐπὶ
τῆι τῶν θείων εἰδήσει νόμων, οὐχ ὑπομνήσας πώποτε τοὺς ἠδικημένους παρ' αὐτοῦ, οὐ
λόγου μεταδούς, μᾶλλον δὲ οὐδὲ συστῆναι ταῖς ἑαυτοῦ προπετείαις θαρσήσας, ὑβρίζει μὲν PG 480
ἀνοσίαι ψήφωι, τάχα δέ που καὶ μέγα πεφρόνηκεν ἐπὶ τούτωι, ἵνα καὶ ἀκούηι λέγοντος
τοῦ μακαρίου Δαυίδ, μᾶλλον δὲ τοῦ ἁγίου πνεύματος διὰ φωνῆς τοῦ Δαυίδ· τί ἐγκαυχᾶι L III 1051
ἐν κακίαι ὁ δυνατὸς ἀνομίαν ὅλην τὴν ἡμέραν; ἀδικίαν ἐλογίσατο ἡ Ps. 52, 3-7
γλῶσσά σου; ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον. ἠγάπησας κακίαν
ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην· ἠγάπησας
πάντα ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν. διὰ τοῦτο ὁ θεὸς καθε-
λεῖ σε εἰς τέλος· ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου
καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων.

**25** Ἐπυθόμην δὲ ὅτι τῆς καθ' ἡμῶν πλημμελείας ἀπαλλάττειν αὐτὸν ἐπιχειροῦσι τινές,
λελυπῆσθαι δικαίως διαβεβαιούμενοι διά τοι τὸ δίχα αὐτοῦ τὸ ἐπὶ τῶι δεδυσφημηκότι γε-
νέσθαι συνέδριον. ἀλλ' ἦν ἄμεινον οὐχ ἡμᾶς αἰτιάσασθαι μᾶλλον, γράφεσθαι δὲ τὴν
οἰκείαν αὐτὸν ἐπὶ τούτωι μέλλησιν. εἶτα τοὺς προαφιγμένους καὶ προαπηγγελκότας τῆι
ἁγίαι συνόδωι μὴ δὴ χρῆναι περιμένειν αὐτὸν καὶ οὐκ αὐτομόλους εἰς τοῦτο ἐλθεῖν, ἀλλὰ
γὰρ ταῖς παρ' αὐτοῦ διακονουμένους φωναῖς, τί μὴ μᾶλλον ἐποιεῖτο κατεστυγημένους ὡς
ψευδηγορήσαντας, ὡς ἠπατηκότας, ἀλλ' ἐν τοῖς ὅτι μάλιστα γνησιωτάτοις ἔχει; ἀλλ' ἔστω
τυχὸν καὶ λελύπηται. ταύτης οὖν ἕνεκα τῆς αἰτίας ἔδει τῶν θείων αὐτὸν ἀλογῆσαι
νόμων, ἐπιλαθέσθαι δὲ θεοῦ λέγοντος ἀθῶιον καὶ δίκαιον οὐκ ἀποκτενεῖς; ἔδει M V 249
κατακρῖναι τοὺς ἐπ' οὐδενὶ τῶν ἀτόπων κατεγνωσμένους; ἐχρῆν ἀδελφῶν τὸ τῆς ἀνοσιό- Exod. 23, 7
τητος κατωθῆσαι ξίφος; θεσμοὺς ἐκκλησιαστικοὺς περιυβρίσαι; συκοφαντῆσαι, ψεύσασθαι
καὶ τοῦτο τὰς εὐσεβεστάτας ὑμῶν ἀκοάς; ἐχρῆν ἡγήσασθαι παρ' οὐδὲν τὴν ὀρθότητα τῆς
πίστεως καὶ τὸ ἐθελῆσαι φρονεῖν ὅσα μῶμον ἔχει παντελῶς οὐδένα, χαρίσασθαι δὲ τὴν
ἐπικουρίαν τῶι δυσφημοῦντι κατὰ Χριστοῦ καὶ ἀναστῆσαι ζητεῖν τὸ ψεῦδος, καταστρέφειν
δὲ τὴν ἀλήθειαν; ταῦτα φρενὸς ἁγίας δοίη τις ἂν εἶναι καρπόν; ταῦτα βουλῆς ἱερατικῆς
εὑρήματα; καίτοι λέγοντος ἀκούω θεοῦ ὅτι χείλη ἱερέως φυλάξεται κρίσιν καὶ Mal. 2, 7
νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ. πρόδηλον οὖν ὅτι δι' ὧν ἂν οἴηται
τῆς καθ' ἡμῶν ἀπονοίας τὰς αἰτίας ἀποσκευάζεσθαι, διὰ τούτων αὐτῶν ἀνόσια πεπραχὼς
**26** καταφωρᾶται μειζόνως. ἐγὼ δέ, ὦ φιλόχριστε βασιλεῦ, ἔχαιρον μὲν τῆς ἐνεγκούσης ἀπαί-
ρων καὶ τῆς ὑμετέρας Ἀλεξανδρείας ἐκδεδημηκώς, πνεύματος δὲ λάβρου καταχεομένου τῶν
ἱστίων καὶ μόνον οὐχὶ καταβροντῶντος τῆς νεὼς αἰρομένου τε ὑψοῦ τοῦ κύματος καὶ ταῖς
τῶν οἰάκων περιπαφλάζοντος κεφαλαῖς, εὔθυμος καὶ οὕτω διετέλουν τὸν ἐκ τοῦ χειμῶνος
κίνδυνον ὀπίσω τιθεὶς τῆς εὐκταιοτάτης μοι θέας τοῦ ὑμετέρου κράτους. καὶ μὴν ὅτε PG 481

V, P [= **hk**], S, D [= mn], AW

1 αὐτῶ κακοδοξίασ S καὶ τὴν] τὴν δὲ SD 3 τι om. P λέγωμεν SDW μεγαλόφρων VP 4 αὐτῶ P 5 τῆ — προπετεία W θαρρήσασ V 6 ἀνοσίω V που om. VP ἀκούοι P 7 μᾶλλον — Δαυίδ om. SW ἐγκαχᾶ P, corr. k 9 κακίαν] ἀδικίαν A 10 τοῦ D 11 πάντα τὰ PSD 11/12 καθέλοι D 12 ἐκτίλαι σε] ἐκτίλλεσαι V 13 καὶ τὸ — ζώντων om. VPA 14 αὐτὸν om. SDW 15 τοι om. SD τὸ δίχα] τάχα W 16 αἰτιᾶσθαι AW 17 αὐτὸν VSAW αὐτῶ P αὐτῶν D μέλησιν W 18 δὴ om. SDW αὐτομόλωσ P 19 γὰρ om. SAW διακονουμέναισ PSD μὴ om. D κατεστιγμένουσ PW 20 ἔχειν VD 22 ἀποκτείνησ S ἔδει δὲ P 23 ἀδελφῶ D 24 ὑβρίσαι W 25 τοῦτο] ταῦτα εἰσ P 26 πίστεως] πίστεωσ ἀσπαζομένουσ ὡσ τὸ εἰκὸσ W ὅσα μῶμον] ὡσ ἄμωμον P δὲ] καὶ S δὲ μᾶλλον W 28 ἁγίας] ὑγειοῦσ W 29 εὑρέματα VSDW ὅτι om. S φυλάξει SDW 30 ὅτι om. P 33 ἡμετέρασ VP τε SDW λαύρου VSDAW καταχεομένων W 34 δὲ P ὑψοῦ VPA εἰσ ὕψοσ SDW 35 εὐθύμωσ SW

τὴν Ἐφεσίων ἀφέντες ἐπὶ τὴν λαμπρὰν ἐκείνην ἀνεκομίζοντο πόλιν οἱ ἐκ τῆς ἁγίας συν-
όδου προκεχειρισμένοι πρός γε τὸ χρῆναι συνειπεῖν τοῖς παρ' αὐτῆς πεπραγμένοις, ἐπεθύ-
μουν γενέσθαι τοῖς ἀνδράσιν ἐναρίθμιος, πρῶτον μὲν ὑπὲρ τοῦ τὸ ὑμέτερον κράτος ἰδεῖν,
εἶτα πρὸς τούτωι ἵνα καὶ αὐτῶι τῶι τῆς Ἀντιοχείας ἐφ' ὑμῶν δικάσωμαι καὶ δείξω συκο-
φαντήσαντα καὶ παρανόμως λελυσσηκότα καὶ μανίαις ἀκράτοις νενικημένον, ὅτι τῶν Νε-
ep. 6 στορίου δυσφημιῶν ἀνεθεμάτισα τὰ κεφάλαια. τῆι γὰρ ἐμῆι πίστει μεμαρτύρηκε τὴν
L III 1054 ὀρθότητα καὶ ἡ Ῥωμαίων ἐκκλησία καὶ μὴν καὶ ἡ ἁγία σύνοδος ἡ ἐξ ἁπάσης ὡς ἔπος
εἰπεῖν συναγηγερμένη τῆς ὑπ' οὐρανόν. ὅτι γὰρ κατ' οὐδένα τρόπον ἔξω γεγονὼς
ἁλοίην ἂν τῆς τε ἀποστολικῆς καὶ εὐαγγελικῆς παραδόσεως ὀρθήν τε καὶ ἀδιάστροφον
nr. 45 τῶν ἱερῶν δογμάτων διελαύνω τρίβον, παμψηφὶ διωμολογήκασι, καὶ τοῦτο ἐγγράφως ἐπὶ
πίστεως ὑπομνημάτων, ἀναγινωσκομένων τῶν παρ' ἐμοῦ γραφεισῶν πρὸς Νεστόριον ἐπι-
27 στολῶν. ηὐχόμην δὲ οὐχὶ τούτων ἕνεκα μόνων ἐκεῖσε γενέσθαι, ἀλλ' ἵνα καὶ τὰς τῶν
ἑτέρων διαβολὰς τὰς κατ' ἐμοῦ καὶ τῶν ἐμῶν ψευδεῖς ἀποφήνω. οἱ γὰρ τῶν Νεστορίου
δογμάτων ὑπασπισταὶ τὸ ἐκ φθόνου καὶ βασκανίας ἐπ' ἐμοὶ συντείνοντες τόξον καὶ τὰ ἐξ
ἀκράτου μανίας πολυτρόπως ἀρτύοντες, ἄνδρας ἐξωνούμενοι καὶ κατηγόρους ἱστάντες, ὧν
Phil. 3, 19 ὁ θεὸς ἡ κοιλία καὶ ἡ δόξα ἐν τῆι αἰσχύνηι αὐτῶν, καθά φησιν ὁ μακάριος Παῦ-
λος, τῶι ὑμετέρωι κράτει δι' ὄχλου γίνεσθαι παρεσκεύαζον καὶ μάλα συχνῶς, καίτοι παρ'
ἐμοῦ πεπονθότας τῶν ἀτόπων οὐδέν· οὐ γὰρ ἦν τις αὐτοῖς πρὸς ἐμὲ λόγος παντελῶς,
ἀπομισθώσαντες δέ, ὡς ἔφην, τοῖς ἐπιβουλεύουσιν ἐμοὶ τὰς ἑαυτῶν γλωσσαλγίας κατε-
M V 252 φλυάρουν εἰκῆι, πάντα δρῶντες ἑτοίμως. ἀτόλμητον δὲ τοῖς τοιούτοις οὐδέν· σύντρο-
φον γὰρ ἔχουσι τὸ κακὸν καὶ οὐδὲν λελόγισται παρ' αὐτοῖς τὸ καὶ γραφὴν ἁλῶναι συκο-
φαντίας καὶ ψευδηγορῆσαι πλειστάκις καὶ καθ' ὧν ἂν βούλοιτό τις, καὶ εἰ μή τις εἴη
γνώριμος αὐτοῖς τῶν κατηγορουμένων. ἴσασι δὲ ὄντας τοιούτους οὕτω τε ζῆν εἰωθότας
οἱ κατὰ πᾶσαν ὄντες τὴν ὑμετέραν Ἀλεξάνδρειαν. κατεφλυάρουν μὲν οὖν ἐκεῖνοι τοῖς
εἰς τοῦτο παρωρμηκόσι τὸ χρῆμα προπίνοντες καὶ ἀντέκτισιν ὥσπερ τινὰ τῆς δωροδοκίας
τῆς κατ' ἐμοῦ γλωσσαλγίας ποιούμενοι τὴν ἐπίδειξιν. καὶ δεδυσφόρηκα μὲν λίαν ἐπὶ
τούτοις ἐγὼ (πῶς γὰρ οὐκ ἔμελλον;), πλὴν ἐμεμνήμην λέγοντος τοῦ πάντων ἡμῶν σωτῆρος
Mt. 5, 11. 12 Χριστοῦ· μακάριοί ἐστε, ὅταν διώξωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ εἴπωσι
πᾶν πονηρὸν καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ. χαίρετε καὶ ἀγαλλιᾶσθε,
ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτως γὰρ ἐδίωξαν τοὺς προ-
PG 484 28 φήτας τοὺς πρὸ ὑμῶν. ὅτε γὰρ ὁ τῆς ἀνομίας πατήρ, τουτέστιν ὁ σατανᾶς, ταῖς
ἐκκλησίαις παγίδα καὶ τοῖς τὴν ὀρθὴν ἔχουσι πίστιν ἐξαρτύειν ἐπιχειρεῖ καὶ διὰ τῶν ἰδίων
ὑπασπιστῶν παραχαράττειν ἀποτολμᾶι τῆς ἀποστολικῆς τε καὶ εὐαγγελικῆς πίστεως τὴν
παράδοσιν, εἶτα τῆς ὀρθῆς δόξης οἱ φύλακες ἀντανιστῶσιν αὐτῶι τὴν ἀλήθειαν καὶ τοῖς
τὰ ὀρθὰ διαστρέφουσιν ἀντιφέρονται, σύνοπλον ἔχοντες καὶ συμπαραστάτην αὐτὸν τὸν

V, P [= hk], S, D [= mn], AW

1 ἐκεῖνοι P  2 πρὸ D  γε om. P  αὐτοῖσ PD αὐτῆ SAW  3 συναρίθμιοσ S  4 ἔπειτα SDW  ἡμῶν W  5 λελυσσηκότα SDW λελυπηκότα VPA  6 ἀνεθεματίσθησαν P  τὴν om. P  7 ἡ² om. SDW  8 καὶ κατ' A  9 εὐαγγελικῆσ καὶ ἀποστολικῆσ SDAW  10 διελαύνων V  παμψηφεὶ VP  ὡμολογήκασι SW  11 γραφησομένων καὶ γραφεισῶν S  γραφέντων V  11/12 ἐπιστολῶν om. V  12 εὐχόμην P  μόνον PW  τὰσ om. VP  13 ἀποφήνωσιν S  15 ἀκράτου AW ἀκρατοῦσ VP ἀκρασίασ καὶ SD  ἱστῶντεσ VW  16 ὁ om. PS  17 γενέσθαι VSDW  17/18 παρ' ἐμοῦ om. SW  18 πεπονθότεσ PSDW  οὐδὲ V  19 γλωσαλγίασ PS  21 οὐδὲ P  γραφὴν ἦν W γραφῆ D γραφῆσ P  23 αὐτῶν S  24 ἡμετέραν VPW  οὖν om. W  25 προτείνοντεσ W  26 τῆς om. SD  γλωσαλγίασ S  ἀπόδειξιν W  δεδυσφήμηκα W  λίαν] πλέον SD  28 ὀνειδίσωσιν ὑμᾶσ καὶ διώξωσιν D  ὀνειδίσωσι καὶ διώξωσιν ὑμᾶσ S  29 καθ' ὑμῶν PA ῥῆμα καθ' ὑμῶν D καθ' ὑμῶν ῥῆμα V ῥῆμα SW  ἐμοῦ om. S  30 ἡμῶν S  31 ἡμῶν PDW  32 τὴν om. V  πίστιν ἔχουσιν P  ἐπιχειρῆ D  καὶ om D  33 τολμᾶ P  34 δόξης] πίστεωσ S  ἀντανιστᾶσιν A ἀνθιστῶσιν P  35 ὅπλον VP  συνπαραστάτην W  τὸν om. S

Χριστόν, ὅς ἐστιν ἀλήθεια, τότε δὴ πάντως ὁ τοῦ ψεύδους πατὴρ πολλοὺς ἐγείρει τοὺς
ψευδηγόρους, τότε καὶ συκοφαντῶν ἀγρία πληθὺς τοῖς εὐσεβεῖν ἡιρημένοις ἀντανίσταται.
τοῦτο παθόντας καὶ αὐτοὺς εὑρίσκομεν τοὺς ἁγίους προφήτας. προεφήτευε μὲν γὰρ
κατὰ καιροὺς ὁ μακάριος Ἀμώς, κατηιτιᾶτο δὲ σφόδρα τοὺς ἐξ Ἰσραὴλ ὡς τῆς εἰς θεὸν
ἀγάπης ἠφειδηκότας καὶ τῶν δοθέντων αὐτοῖς ὑπερορῶντας νόμων· ἀλλ᾿ εἰς μέσον ἤιει
παραχρῆμα καὶ ἀντέπραττεν ὁ Πασχώρ (ψευδοπροφήτης δὲ οὗτος καὶ δαιμονίων θεραπευ- Ier. 20, 1
τής), εἶτα τῶι βασιλεῖ τοῦ Ἰσραὴλ διαβέβληκε τὸν ἀληθῶς ἅγιον καὶ προφήτην, ὧδε γεγρα-
φώς· συστροφὰς ποιεῖται κατὰ σοῦ Ἀμώς· οὐ μὴ δύνηται ἡ γῆ ὑπενεγκεῖν L III 1055
πάντας τοὺς λόγους αὐτοῦ. ὁμοίως δὲ καὶ ὁ μακάριος Ἱερεμίας πλημμελοῦντα τὸν Amos 7, 10 Ier. 33, 13
Ἰσραὴλ ἐπανορθοῦν ἐκέλευε τὰς οἰκείας ὁδούς, ἀλλ᾿ οὐκ ἀπῆσαν οἱ διαβάλλοντες· παρώ-
τρυναν γὰρ κατ᾿ αὐτοῦ τὸν Σεδεκίαν τοὺς τῆς βασιλείας διέποντα θρόνους. καὶ φορτικὸν
μὲν ἦν τοῖς ἁγίοις τὸ χρῆμα καὶ δύσοιστον ἀληθῶς· πλὴν τὸ θεῶι δοκοῦν καὶ φίλον τῆς
ἑαυτῶν προθέντες ζωῆς, εἴχοντο καὶ οὕτω τῶν ἐν χερσὶ σπουδασμάτων, οὐκ ἀγνοοῦντες
τὸ γεγραμμένον ὅτι καρδία βασιλέως ἐν χειρὶ θεοῦ· οὗ δ᾿ ἂν θέλων νεῦσαι, Prou. 21, 1
ἐκεῖ ἔκλινεν αὐτήν. πράους γὰρ αὐτοὺς ἀπετέλει καὶ φιλοικτίρμονας, καίτοι πλειστά-
29 κις παρωξυμμένους, τοὺς τῶν Ἰουδαικῶν κρατοῦντας πραγμάτων ἀλλὰ γὰρ παρήσομεν
τὰ ἐκείνων, ὡς ἅπασιν ἐγνωσμένα, μεμνήσομαι δὲ τοῦ πανευφήμου καὶ τρισμακαρίου πατρὸς
ἡμῶν Ἀθανασίου τοῦ γεγονότος κατὰ καιροὺς ἐπισκόπου τῆς ὑμετέρας Ἀλεξανδρείας.
ἐμάχετο μὲν γὰρ ταῖς Ἀρείου κακοδοξίαις, οἱ δὲ τῆς ἐκείνου βδελυρίας παράσιτοι συκοφαν-
τοῦντες αὐτὸν διετέλουν. ἀσελγῆ δὲ καὶ ἀχάλινον ἐπ᾿ αὐτῶι τὴν γλῶσσαν ἀνέντες, ὡς M V 253
οὐκ ἀρκούντων αὐτοῖς τῶν ψευσμάτων, χεῖρα τεμόντες ἀνθρώπου περιεκόμιζον καὶ φρικτὸν
τοῖς ὁρῶσι παρατιθέντες θέαμα ταύτην αὐτὸν ἔφασκον ἀποτεμεῖν, Ἀρσένιον δέ τινα τοῦτο
παθεῖν διετείνοντο. χρόνους δὲ μακροὺς διατετελέκασι συναρπάζοντες, ἄχρις οὗ διαλαν-
θάνων κατελήφθη ζῶν ὁ Ἀρσένιος, πεφώραται δὲ οὕτω μόλις τῆς ἐκείνων σκαιότητος τὸ
30 ἐγχείρημα. δύσοιστον μὲν οὖν καὶ σφόδρα δριμὺ ψυχαῖς ἐλευθέραις καὶ καθαρὸν ἐχού- PG 485
σαις τὸ συνειδὸς ἡ συκοφαντία, ἀλύει δὲ σφόδρα τῶν πεπονθότων ὁ νοῦς καὶ τὸ εἰκῆι
καὶ μάτην ἐπιβουλεύεσθαι παρὰ τῶν ἠδικημένων οὐδὲν παγχάλεπον ὁμολογουμένως. πλὴν
ὅτι ταῦτα συμβήσεται τοῖς πρεσβεύουσι τὴν ἀλήθειαν, προκαταμεμήνυκεν ἡ θεία γραφή.
ἔφη γοῦν· ἕως θανάτου ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας, καὶ κύριος πολεμήσει Sir. 4, 28
ὑπὲρ σοῦ. καὶ μὴν καὶ αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς εἰς ἀγαθὴν εὐτολμίαν
ἐπαλείφων τοὺς μαθητὰς καὶ ψευδηγορίας ἁπάσης ἀλογεῖν ἀναπείθων καὶ τῶν ἐπὶ τῶι διώ-
κεσθαι πόνων, εἰ ἐμὲ ἐδίωξαν, φησί, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν οἰκοδεσπό- Ioh. 15, 20
την Βεελζεβοὺλ ἐκάλεσαν, πόσωι μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ. ἐκδυ- Mt. 10, 25
σωπεῖ δὲ καὶ σφόδρα χρησίμως προσεπειπών· οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδά- Mt. 10, 24

V, P [= hk], S, D [= mn], AW

1 ἡ ἀλήθεια DW 2 τότε δὴ SD ὅτε δὴ W ἄγρια πλήθη VP ἀνθίσταται P 3 ἁγίασ S 4 καιρὸν V 5 ὑπερορῶντεσ S ἤει PA ἥκει SDW ἦλθε V 6 παραχρῆμα om. SDW ἀντέπασχεν SD ἀντέπεσχεν W δὲ om. P 7 τὸν om. SDW ἀληθῶσ in ἀληθῆ corr. S 8 σοῦ] τοῦ W δυνήσεται SD δυνήσηται W ἐπενεγκεῖν P 9 πάντας om. P τρισμακάριοσ A μακάριοσ προφήτησ SDW 10 ἐνδιαβάλλοντεσ V 10/11 παρώτρυνον A 11 γὰρ VPA δὲ SDW διέποντασ S 12 μὲν om. VP ἦν] ἐν D καὶ — ἀληθῶς om. P τὸ Vm τῶ SnA τό τῶ PW φίλον ὂν A 14 βασιλέων V θῦ καὶ D θέλη PW νεύσῃ A νεύσειεν V ἔκλιναν S 15 ἀποτελεῖ A 15/16 πολλάκισ S 16 παρωξυμένουσ D παροξυνομένουσ W παρωτρυμμένουσ V ἰουδαίων P παρήσωμεν PSD 17 πᾶσιν V ἐγνωσμένων W δὲ om. W 18 ἡμετέρασ VP 19 ἐμάχοντο S βδελλυρίασ W κακοδοξίασ P 19/20 συκοφαντοῦσιν V 20 αὐτοῦ SDW γλῶτταν SmW 20/21 οὐκ' ὡσ S 21 καὶ om. VP 22 παρατίθενται S 24 κατελείφθη VW 25 σφόδρα om. SW ἐλευθέροισ P 27 πλὴν ὁμολογουμένωσ P 29 ἠγώνισαι S ὑπὲρ] περὶ V 30 αὐτὸς om. AW, corr. W ῑσ̄ χσ̄ VP 31 ὑπαλείφων W πάσησ D 32 καὶ ὑμᾶσ φησὶ S 33 ἀπεκάλεσαν A πόσω SDW πολλῶ VPA 33/34 ἐδυσώπει SDW 34 προσειπών P

σκαλον οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. εἰ γὰρ αὐτοῦ κατειρήκασι τοῦ
Χριστοῦ, ποῖος ἡμῶν ὁ λόγος; καὶ εἰ κατὰ παντὸς ἁγίου γεγόνασιν αἱ συκοφαντίαι, πῶς
ἦν ἄρα διαφυγεῖν τοὺς ἐλαχίστους ἡμᾶς; ἀκρατὴς μὲν γὰρ τῶν ἀνοσίων ἡ γλῶττα, φέρεται
δὲ ὥσπερ κατὰ πρανοῦς, ἀλλ' ἐστὶν ἐπάρατος καὶ θεῶι κατεστυγημένη. ψάλλει γοῦν ὁ
Ps. 11, 4 μακάριος προφήτης Δαυίδ· ἐξολοθρεύσαι κύριος πάντα τὰ χείλη τὰ δόλια καὶ
γλῶσσαν μεγαλορήμονα.

81 Πεπείραται σὺν ἐμοὶ τῶν ἐκ γλώττης ἀχαλίνου βελῶν καὶ ὁ ἀγαπητὸς μοναστὴς
Βίκτωρ. ἐπεφήμισαν γὰρ τινὲς αὐτῶι τῶν τάχα που ψευδηγορεῖν εἰωθότων ὅτι καὶ
L III 1058 αὐτὸς τῶν ἐκτόπων τινὰ πεφλυάρηκε κατ' ἐμοῦ, ὥστε καὶ ἀφιγμένον εἰς τὴν Ἐφεσίων
πρός με κατῃτιῶντο σφόδρα τῶν ἀπὸ τῆς ἁγίας συνόδου τινές, μᾶλλον δὲ καὶ ἀπεστρά-
φησαν ἅπαντες ὡς ἕνα τῶν ἀνοσίων μεμισηκότες. διατετελέκασι γοῦν πατραλοίαν ὀνο-
μάζοντες καὶ ἀδελφοκτόνον καὶ ὅσα τούτοις ἐστὶ παραπλήσια. καὶ τοῦτο γνοὺς ὁ πρε-
σβύτης, πλείστων ὅσων αὐτὸν περιεστηκότων ἁγίων ἐπισκόπων, ἀνατείνας εἰς οὐρανὸν
τὰς χεῖρας ὀμώμοκεν ἀσυνήθως κατά τε τοῦ ἁγίου βαπτίσματος καὶ τῶν σεπτῶν τοῦ
Χριστοῦ μυστηρίων μηδὲν ἑαυτῶι συνειδέναι τοιοῦτον οὕτω τε μόλις ἐγώ τε καὶ αὐτὸς
ἰσχύσαμεν τὰς τῶν λυπουμένων θεραπεῦσαι ψυχάς. πλὴν εἰ καὶ πολλοὶ λίαν οἱ ψευδο-
επεῖν ἐθέλοντες ἐπιφυόμενοί τε καὶ ἐπιπηδῶντες μάτην, μᾶλλον δὲ καὶ παρωτρυμμένοι πρὸς
τοῦτο παρὰ τῶν Νεστορίου σπουδαστῶν, ἀλλ' ἤρκεσεν εἰς ἐπικουρίαν τοῦ σωτῆρος ἡ χάρις
καὶ τῆς ὑμετέρας εὐσεβείας τὸ μισοπόνηρον. ὥσπερ γὰρ ἐκ καμίνου καιομένης ἁρπά-
σαντες, ἡμερωτάτοις νεύμασι διεσώσατε, ἵνα τοῖς ἄλλοις ὁμοῦ τοῖς ἀνὰ πᾶσαν τὴν ὑμετέ-
M V 256 ραν Αἴγυπτον ἁγίοις ἐπισκόποις καὶ μονασταῖς ἀκαταλήκτους εὐχαριστίας τὰς ὑπέρ γε
PG 488 τοῦ ὑμετέρου κράτους νίκης τε καὶ διαμονῆς ἀναφέρωμεν τῶι παναγίωι Χριστῶι· δι' οὗ
καὶ μεθ' οὗ τῶι θεῶι καὶ πατρὶ ἡ δόξα σὺν ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων. ἀμήν.

119 = A 134. uersionem Syriacam edidit Bedjan in appendice Nestorii libri Heraclidae
p. 542—562

L III 1155 1 Κυρίωι ἀγαπητῶι καὶ συλλειτουργῶι Οὐαλεριανῶι ἐπισκόπωι [τοῦ Ἰκονίου] Κύριλλος
M V 353 PG 77, 256 ἐν κυρίωι χαίρειν. Ἀπόχρη μέν, ὡς διάκειμαι, μᾶλλον δὲ καὶ ὡς ἔχει φύσεως τὸ ἀληθές,

7 sq. cf. ep. 22, 6

27 ὡραία πάνυ πρὸς τὸ δόγμα V in mg. Flor. Cyr. 74 ἐκ τῆς πρὸς Οὐαλεριανὸν ἐπιστολῆς ἐπίσκοπον Ἰκονίου, ἧς ἡ ἀρχή· Ἀπόχρη — ἀληθές

V, P [= hk], S, D [= mn], AW

1 τοῦ om. S 2 πῶσ ἢ ποῖοσ V καὶ εἰ] εἰ καὶ W οἱ συκοφάνται W 3 καὶ διαφυγεῖν SW γὰρ om. V τῶν ἀνοσίων ἡ PSDAW ἡ κατὰ τῶν ἁγίων V γλῶσσα S 5 προφήτης om. VP καὶ om. W 6 μεγαλορρήμονα V 8 οὐίτωρ P ἐπεφήμησαν kW που om. D ὅτι] ὥστε S 9 οὗτοσ A ἀτόπων S ἀφιγμένων m τῶν ἀφιγμένων V 11 γοῦν PA οὖν SDW γὰρ V 12 ἀνθρωποκτόνον S ἐστὶ om. SDW τοῦτο] οὕτω W 13/14 τὰσ χεῖρασ εἰσ [εἰσ τὸν V] οὐρανόν VP 14 ὤμοκεν S ὠμόμοκεν W συνήθωσ V τε om. SDW σεπτῶν om. VP 15 αὐτῶ SW συνιέναι V τε[2] om. V 16/17 οἱ — ἐθέλοντες] ἦσαν ὑθλοῦντεσ P 17 παρωτρυμένοι D παρωτρυνόμενοι W παροτρυνόμενοι VP 17/18 πρὸς τοῦτο om. VP 20/21 ἡμετέραν VP 21 καὶ μονασταῖσ om. S 22 Χριστῶι] $\overline{\text{θῶ}}$ P 23 $\overline{\text{πρι}}$ καὶ $\overline{\text{θῶ}}$ P ἡ om. V 23/24 τῶν αἰώνων om. SDA 24 ἀμήν om. S

V, P [= hk], AWRU, D [= mn], Σ

inscr. τοῦ αὐτοῦ πρὸσ οὐαλεριανὸν ἐπίσκοπον κατὰ τῶν τὰ νεστορίου φρονούντων VP κυρίλλου [τοῦ ἁγίου κυρίλλου D] ἶσον ἐπιστολῆσ γραφείσησ πρὸσ τὸν εὐλαβέστατον ἐπίσκοπον οὐαλεριανόν AD τοῦ ἐν ἁγίοισ $\overline{\text{πρσ}}$ ἡμῶν κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ ἐπιστολὴ πρὸσ οὐαλεριανὸν ἐπίσκοπον τοῦ ἰκονίου W τοῦ αὐτοῦ ἐπιστολὴ πρὸσ οὐαλεριανὸν ἐπίσκοπον τοῦ ἰκονίου U om. R $\overline{\text{ρμ}}$ D $\overline{\text{ρι}}$ P 27/28 Κυρίωι — χαίρειν RΣ om. VPAWUD 27 ἀγαπητῶι καὶ ἀδελφῶι καὶ συλλειτουργῶι Σ τοῦ ἰκονίου R om. Σ

καὶ ἡ νῆψις τῆς σῆς ὁσιότητος εἴς γε τὸ δύνασθαι καὶ μάλα νεανικῶς ἀνταναστῆσαι τὸ
ἀκριβὲς ταῖς τινῶν εἰκαιομυθίαις. ψυχρολογοῦσι γὰρ γραοπρεπῶς ἄνω τε καὶ κάτω
πάντα κυκῶντες καὶ προσποιούμενοι μὲν περιεργάζεσθαι λεπτῶς τῆς ἐνανθρωπήσεως τοῦ
μονογενοῦς τὸ μυστήριον, οὐ μὴν ἔτι καὶ συνιέντες αὐτό, παρατρεπόμενοι δέ, καὶ τοῦτο L III 1158
εὐκόλως, πρὸς ἃ μὴ θέμις, καὶ φρονοῦντες τὰ διεστραμμένα. τὸ δέ γε παγχάλεπον
ἐκεῖνό ἐστιν ἐν τούτοις· ὑποπλάττονται μὲν γὰρ τὰ ὀρθὰ βούλεσθαι φρονεῖν καὶ δόκησιν
ἑαυτοῖς τῆς εἰς τοῦτο ῥοπῆς καθάπερ τι προσωπεῖον ἐναρμόσαντες τὸν τῆς Νεστορίου
δυσσεβείας ἰὸν ἐγχέουσι ταῖς τῶν ἁπλουστέρων ψυχαῖς, ἐοίκασι δέ πως τοῖς τῶν ἀνθρω-
πίνων σωμάτων ἀκεσταῖς ἢ γοῦν ἰατροῖς, οἳ τοῖς τῶν φαρμάκων οὐχ ἡδέσι τὸ γλυκὺ
προσπλέκουσι μέλι, τῆι τοῦ χρηστοῦ ποιότητι τοῦ πεφυκότος λυπεῖν τὴν αἴσθησιν ὑποκλέπ-
2 τοντες. ἀλλ' οὐ γὰρ αὐτῶν τὰ νοήματα ἀγνοοῦμεν, νοῦν ἔχοντες Χριστοῦ κατὰ τὸν 2 Cor. 2, 11
πάνσοφον Παῦλον. εἰ μὲν γὰρ ἦν τις ὁ λέγων ὡς ὁ ἐκ θεοῦ πατρὸς ἀπορρήτως γεννη- 1 Cor. 2, 16
θεὶς μονογενὴς θεὸς λόγος ὁ καὶ αὐτῶν τῶν αἰώνων ποιητὴς ἀρχὴν ὑπάρξεως ἔσχεν ἐκ
τῆς ἁγίας παρθένου, ἔδοξεν ἂν αὐτοῖς οὐκ ἔξω φέρεσθαι σκοποῦ τὸ χρῆναι λέγειν· εἰ
πνεῦμα κατὰ φύσιν ἐστὶν ὁ τοῦ θεοῦ λόγος, πῶς ἂν ἀπὸ σαρκὸς ἐγεννήθη, τοῦ κυρίου
λέγοντος τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν; ἐπειδὴ δὲ ὁ τοῦ κατὰ Ioh. 3, 6
Χριστὸν μυστηρίου λόγος ἑτέραν οἶμον ἔρχεται τὴν εἰς εὐθύ τε καὶ ἀπλανῆ καὶ οὐδὲν ἔχου- PG 257
σαν τὸ διάστροφον, ἀνθ' ὅτου βαττολογοῦσιν εἰκῆι, μὴ νοοῦντες μήτε ἃ λέγουσιν 1 Tim. 1, 7
μήτε περὶ τίνων διαβεβαιοῦνται; φαμὲν γὰρ ὅτι ὁ μονογενὴς τοῦ θεοῦ λόγος,
πνεῦμα ὢν ὡς θεὸς κατὰ τὰς γραφάς, ἐπὶ σωτηρίαι τῶν ὅλων ἐσαρκώθη τε καὶ ἐνηνθρώ- Ioh. 4, 24
πησεν, οὐκ ἐκ τῆς ἰδίας φύσεως αὐτὸς ἑαυτῶι σῶμα μεταβαλών, ἀλλ' οὐδὲ ἐκστὰς τοῦ
εἶναι ὃ ἦν, ἢ τροπὴν ἢ ἀλλοίωσιν ὑπομείνας, ἀλλ' ἐκ τῆς ἁγίας παρθένου τὸ ἄχραντον
σῶμα λαβὼν ἐψυχωμένον νοερῶς καὶ ἴδιον ἀποφήνας αὐτὸ καθ' ἕνωσιν ἀπερινόητον καὶ
ἀσύγχυτον καὶ ἄφραστον παντελῶς, ὡς μὴ ἑτέρου τινός, ἀλλ' ἴδιον αὐτοῦ τοῦτο νοεῖσθαι.
οὕτως εἰσῆλθεν εἰς τὸν κόσμον ὁ μονογενὴς ὡς πρωτότοκος καὶ ἐν πολλοῖς γέγονεν ἀδελ- Rom. 8, 29
φοῖς ὁ ἀσύντακτος τῆι κτίσει καθὸ νοεῖται θεός. ὅταν τοίνυν γεγεννῆσθαι λέγηται καὶ
ἐκ γυναικός, ἀναγκαίως τὸ κατὰ σάρκα προσεπιφέρεται, ἵνα μὴ ὑπάρξεως ἀρχὴν νοῆται
λαβὼν ἐκ τῆς ἁγίας παρθένου, καίτοι πρὸ παντὸς αἰῶνος ὑπάρχων, ὁ συναΐδιος καὶ ἀεὶ
συνυφεστηκὼς τῶι ἰδίωι πατρὶ θεὸς λόγος, ἀλλ' ὅτε κατ' εὐδοκίαν τοῦ πατρὸς τὴν τοῦ
δούλου μορφὴν ἠθέλησε λαβεῖν, τότε καὶ ἀπότεξιν τὴν ἐκ γυναικὸς κατὰ σάρκα μεθ' ἡμῶν
ὑπομεῖναι λέγεται. οὐκοῦν ὁμολογουμένως μὲν τὸ ἀπὸ σαρκὸς σάρξ ἐστιν, τὸ δὲ ἐκ
θεοῦ θεός· ἔστι δὲ κατὰ ταυτὸν ἀμφότερα Χριστός, εἷς ὢν υἱὸς καὶ κύριος μετὰ τῆς ἰδίας M V 356

---

19—29 λόγος Timoth. arm. p. 120 31—p. 92, 1 οὐκοῦν — σαρκός Doctr. p. 212, 24 ex Eulogio 31—p. 92, 1 Flor. Cyr. 74 ὁμολογουμένως — νοερῶς

---

V, P [= hk], AWRU, D [= mn], Σ

1 ἀναστήσαι R 2 εἰκαιομυρίαισ A 3 τὰ πάντα WU om. AD μὲν περιεργάζεσθαι om. W μὲν om. D 4 μονογενοῦσ καὶ $\overline{κυ}$ V 5 διεστραμένα V γε om. D 6 μὲν om. W γὰρ om. AD τὸ W βουλεύεσθαι R 7 τὸ R 8 δυσφημίασ WR ἐκχέουσι WRD 9 τοῖς] τῆ P 9/10 οὐχ ἡδέσι — χρηστοῦ om. P 10 προσπλέκοντεσ WR 10/11 ὑποκλέπτουσιν P 12 πάνσοφον WRU εἰπόντα πάνσοφον P σοφώτατον εἰπόντα πάνσοφον V σοφώτατον A σοφὸν D ὁ[2] om. R 12/13 γενηθεὶσ V 13 θεὸς om. P 15 κατὰ φύσιν $\overline{πνα}$ P ἐγενήθη V 16 γεγενημένον V 17 οἶμον WR οἶμαι U ὁδὸν AD οἶμον ἤτοι ὁδὸν VP ἀπλανὴν R ἁπλῆν PU 17/18 ἔχουσα R 18 βατολογοῦσιν W 20 σωτηριαν R ἄλλων V 21 μεταλαβὼν A 21—23 ἐκστάς — ἀποφήνας] ἐκφήνασ D 22 ἢ[1]] οὐ A 24 τοῦτο om. AD 25 ὡς — καὶ] καὶ πρωτότοκοσ PΣ γενόμενοσ WR 26 ὁ om. W τῆι κτίσει om. AD γεγενῆσθαι V om. D 27 ἐπιφέρεται R ἐπιφέρηται W νοοῖτο AWRD 29 συνεφεστηκὼσ P τοῦ[1] om. WR 30 τὴν γέννησιν τὴν P 32 δὲ om. AD κατ' αὐτὸν VR, corr. R ὢν εἷς Flor. εἰσ $\overline{κσ}$ WR Flor. Doct.

3 αὐτοῦ σαρκός, οὐκ ἀψύχου μᾶλλον, ὡς ἔφην, ἀλλ' ἐμψυχωμένης νοερῶς. μὴ τοίνυν δια-
τεμνέτωσαν εἰς δύο τὸν ἕνα υἱὸν ἡμῖν, ἀνὰ μέρος ἱστάντες τὸν λόγον καὶ υἱὸν ἕτερον
ἰδικῶς τε καὶ ἀνὰ μέρος ἄνθρωπον τὸν ἐκ γυναικός, καθά φασιν αὐτοί, ἀλλ' ἐννοείτωσαν
ὅτι οὐκ ἀνθρώπωι συνήφθη μᾶλλον ὁ θεὸς λόγος, ἀλλ' αὐτὸς ἄνθρωπος γενέσθαι λέγεται,
Hebr. 2, 16. 17 σπέρματος Ἀβραὰμ ἐπιλαβόμενος κατὰ τὰς γραφὰς καὶ ὁμοιωθεὶς κατὰ πάντα τοῖς ἀδελφοῖς
L III 1159 δίχα μόνης ἁμαρτίας. ἡ δὲ εἰς ἅπαν ὁμοίωσις ἔχοι ἂν εἰκότως καὶ πρό γε τῶν ἄλλων
τὴν ἐκ γυναικὸς ἀπότεξιν, ἣ νοεῖται μὲν ἐφ' ἡμῶν ἀνθρωπίνως καὶ καθ' ἡμᾶς, ἐπὶ δέ γε
τοῦ μονογενοῦς ὑπὲρ τοῦτο· θεὸς γὰρ ἦν σαρκούμενος. τοιγάρτοι καὶ θεοτόκος ἡ ἁγία
4 καλεῖται παρθένος. ἐὰν δὲ λέγωσιν ὅτι θεὸς καὶ ἄνθρωπος συνελθόντες κατὰ ταυτὸν
ἀπετέλεσαν ἕνα Χριστόν, φυλαττομένης δηλονότι τῆς ὑποστάσεως ἑκατέρου ἀσυγχύτως, τῶι
δὲ λόγωι διαιρουμένης, οὐδὲν ἀκριβὲς ἐπὶ τούτωι φρονοῦντας ἢ λέγοντας ἔνεστιν ἰδεῖν.
οὐ γάρ, καθά φασιν, θεὸς καὶ ἄνθρωπος συνελθόντες ἀπετέλεσαν ἕνα Χριστόν, ἀλλ', ὡς
Hebr. 2, 14 ἔφην ἤδη, θεὸς ὢν ὁ λόγος παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκός, ἵνα θεὸς ἐν-
ανθρωπήσας νοῆται καὶ τὴν ἡμετέραν σάρκα λαβὼν καὶ ἰδίαν αὐτὴν ποιησάμενος, ἵνα κα-
PG 260 θάπερ ὁ καθ' ἡμᾶς νοούμενος ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος συνεστὼς εἷς ἐστιν, οὕτω
καὶ αὐτὸς εἷς ὁμολογῆται ὑπάρχειν καὶ υἱὸς καὶ κύριος. μία γὰρ ὁμολογεῖται φύσις
ἀνθρώπου καὶ σύστασις, κἂν ἐκ διαφόρων νοῆται καὶ [ἐξ] ἑτεροειδῶν πραγμάτων. ἑτερο-
φυὲς μὲν γὰρ ὁμολογουμένως ὡς πρός γε ψυχὴν τὸ σῶμά ἐστιν, ἀλλ' ἴδιον αὐτῆς καὶ
συναποτελεστικὸν τῆς ὑποστάσεως τοῦ ἑνὸς ἀνθρώπου. καὶ νῶι μὲν καὶ θεωρίαι τὸ
διάφορον τῶν ὠνομασμένων οὐκ ἀσυμφανές, ἡ δέ γε σύνοδος ἤτοι συνδρομὴ τὸ ἀδιάτμη-
τον ἔχουσα ἓν ἀποτελεῖ ζῶιον τὸν ἄνθρωπον. ὁ τοίνυν μονογενὴς τοῦ θεοῦ λόγος οὐκ
ἄνθρωπον προσλαβὼν προῆλθεν ἄνθρωπος, ἀλλὰ καίτοι τὴν ἐκ θεοῦ πατρὸς ἀπόρρητον
ἔχων γέννησιν, διὰ τοῦ ἁγίου καὶ ὁμοουσίου πνεύματος ἑαυτῶι δημιουργήσας ναὸν γέγονεν
ἄνθρωπος. τοιγάρτοι καὶ εἷς νοεῖται, κἂν τῆι θεωρίαι τῆι κατὰ τὸν λόγον ἑτεροφυὲς ἦι
παρ' αὐτὸν τὸ σῶμα αὐτοῦ. ὁμολογείσθω δὲ πανταχοῦ ὅτι μὴ ἄψυχον ἦν, ἀλλ' ἐψύχωτο
ψυχῆι νοερᾶι.
5 Ἥκειν γε μὴν εἰς τοῦτο ἀποπληξίας ἐπυθόμην τινάς, ὡς μὴ καταδεῖσαι λέγειν ὡς ἔν
τινι Ἰησοῦ τῶι ἐκ παρθένου τεχθέντι ἐνοικήσαντα τὸν θεὸν λόγον τοῦτον ἀποθεῶσαι.
ἀλλ' οὐ τοῦτό γε ἐστιν, ὦ βέλτιστοι, φαίην ἂν αὐτοῖς, τὸ σαρκωθῆναί τε καὶ ἐνανθρω-
πῆσαι τὸν τοῦ θεοῦ λόγον, ἐγκατοικῆσαι δὲ μᾶλλον ἀνθρώπωι καθάπερ ἀμέλει καὶ ἑνὶ τῶν
ἁγίων προφητῶν. ὁ δέ γε τοῦ καθ' ἡμᾶς μυστηρίου λόγος, ὡς καὶ ἐν τοῖς ἀνωτέρω
Ioh. 1, 14 βραχὺ προδεδήλωται, αὐτὸν βούλεται τὸν ἐκ θεοῦ πατρὸς γεννηθέντα λόγον σάρκα γενέσθαι

1—21 Timoth. arm. p. 120

V, P [= hk], AWRU, D [= mn], Σ

1 σαρκὸσ αὐτοῦ AD σαρκὸσ VP     ὡσ ἔφην, ἀλλ' VPAUD δὲ ὡσ ἔφην WR Flor.     ἐμ-ψυχωμένησ D     1/2 τεμνέτωσαν WR     2 ἡμῖν εἰσ δύο τόν — υἱόν P ἡμῖν τὸν ἕνα υἱόν V ἱστῶντεσ D     καὶ υἱὸν καὶ WR     3 ἐννοήτωσαν P ἐνοείτωσαν V     4 ὅτι] ὡσ WR     θεός] τοῦ θεοῦ WR     γενέσθαι λέγεται ἄνθρωποσ P     5 ἐπιλαμβανόμενοσ WR     ὡμοιωθεὶσ V     6 δίχα καὶ W     ἔχοιεν ἂν R     πρόσ R     7 καὶ om. WR, corr. W     γε om. VPU     9 παρθένοσ καλεῖται U     9 ὅτι om. D     καταυτόν VU     10 ἀσυγχύτου VUn Tim.     11 ἀκρι-βῶσ P     ἢ λέγοντας om. WR Tim.     12 οὐδὲ W     συνελθόντεσ θεὸσ καὶ ἄνθρωποσ WR     13 μετέ-σχηκεν P     14 καὶ[1] om. W     15 συνεστηκὼσ WR     16 ὁμολογεῖται R     καὶ[2] om D Tim.     17 σύστασισ AWRUDΣ ὑπόστασισ VP     ἐξ om. WRΣ     17/18 ἑτεροειδέσ P     18 μὲν om. P     γὰρ om. AD     ὡς om. WRU     τὴν ψυχὴν WR     τῷ R     19 ἐστὶ τῆσ D     20 ὀνο-μασμένων VhRm     γε om. WR     20/21 διάτμητον V     22 ἄρρητον R     24 νοῆται V θεωρεῖται WR     τῆι[1] om. AD     τόν om. W     ἦν WR     25 παρ' αὐτῷ W παρ' αὐτὸ R δὴ WR     πανταχῆ WR     ἐψύχωται U ἐμψύχωτο D     27 γε μὴν] μὲν οὖν WR     μὴ — ὡς om. WR μὴ καταδεῖσαι VPUΣ καταδέχεσθαι AD     28 $\overline{\iota\overline{υ}}$ UΣ υἱῷ VPAWRD     29 γε om. VP     30 ἐγκα-τοικεῖν AD ἐνοικῆσαι WR     ἐν ἑνὶ WR     31 ἐν om. P     ἀνωτέροισ V     32 γεννη-θέντα om. R

κατὰ τὰς γραφάς, οὐχ ὡς μετάστασιν φυσικὴν ἢ γοῦν τροπὴν ἢ ἀλλοίωσιν ὑπομείναντα,
τὴν εἰς σάρκα φημί, ἀλλ' ὅτι σάρκα ἐψυχωμένην νοερῶς ἰδίαν ἐποιήσατο καὶ αὐτὸς προ-
ῆλθεν ἄνθρωπος, οὐκ ἀνθρώπωι συνήφθη οὐδὲ ἐνώικηκεν, καθά φασιν. τὸ δὲ δὴ καὶ
ἀποτεθεῶσθαι λέγειν τὸν ἐσχηκότα τὴν ἐνοίκησιν, ὡς αὐτοὶ διατείνονται (τοῦτο γὰρ παρ' M V 357
ἡμῖν ἀπόβλητον παντελῶς), πῶς οὐχ ἁπάσης ἐμβροντησίας ἀπόδειξιν ἔχει; μάχεται γὰρ
τῶι σκοπῶι τῆς θεοπνεύστου γραφῆς. ὁ μὲν γὰρ θεσπέσιος Παῦλος τὸν τοῦ θεοῦ Phil. 2, 6-8
6 λόγον ἐν μορφῆι καὶ ἰσότητι τῆι κατὰ πᾶν ὁτιοῦν τοῦ πατρὸς ὄντα φησὶν οὐχ ἁρπαγμὸν
ἡγήσασθαι τὸ εἶναι ἴσα θεῶι, ἑαυτὸν δὲ μᾶλλον κενῶσαι καὶ μορφὴν δούλου λαβεῖν καὶ L III 1162
ἐν ὁμοιώματι ἀνθρώπων γενέσθαι ὡς ἄνθρωπον ταπεινῶσαί τε ἑαυτόν· οἳ δὲ πρὸς πᾶν
τοὐναντίον μεθιστάντες τῶν πραγμάτων τὴν φύσιν καὶ τῆς ἀληθείας τὴν δύναμιν ἀνοσίως
ἐκκαπηλεύοντες τεθεοποιῆσθαί φασιν ἄνθρωπον. εἶτα τίς ὁ κενώσας ἑαυτόν, ὦ βέλτιστοι,
καὶ πῶς τεταπείνωται; ποίαν, εἰπέ μοι, λαβὼν τοῦ δούλου μορφήν; εἰσκομίζει γάρ, ὡς ἔοικεν,
ἡμῖν ὁ παρ' αὐτῶν λόγος ἐκ τῆς καθ' ἡμᾶς ταπεινότητος ὑψούμενον ἄνθρωπον καὶ ἐκ τῆς
καθ' ἡμᾶς κενώσεως εἰς τὸ πλῆρες τῆς θεότητος ἀναβαίνοντα καὶ ἐκ τῆς τοῦ δούλου μορ- PG 261
φῆς μεθιστάμενον εἰς δεσποτικήν. πῶς οὖν ἄρα κεκενῶσθαί φασιν τὸν μονογενῆ ἢ πῶς
τὴν ἡμῶν ὑπομεῖναι ταπείνωσιν, οὐκ ἔχω νοεῖν, εἰ μὴ ἄρα κεκενῶσθαί φασιν αὐτόν, ὅτι
τῆι ἰδίαι δόξηι τετίμηκεν ἄνθρωπον. καὶ εἰ τιμῶν ἀδικεῖται καὶ κενοῦται δοξάζων, πῶς
οὐκ ἄμεινον ἐρεῖ τις εἶναι τὸ μήτε τιμὴν αὐτὸν μήτε μὴν δόξαν τινὶ νέμειν; ἔμεινε γὰρ ἂν
ἐν ἰδίαις ὑπεροχαῖς, μήτε τιμήσας μήτε δοξάσας τόν, ὡς αὐτοί φασιν, οἰκειωθέντα αὐτῶι
ἄνθρωπον. ἆρ' οὐ γέλωτος ἄξια παντί τωι φανεῖται καὶ ἀβελτηρίας ἔμπλεω τῆς ἐσχάτης
ἃ φρονεῖν ἐγνώκασι καὶ θαρσοῦσι λαλεῖν; ἀλλ' ὅ γε τῆς ἀληθείας λόγος οὐκ ἂν ὑποπτεύ-
σειέν τι κεκενῶσθαι πώποτε μὴ οὐχὶ πλῆρες ὂν κατ' ἰδίαν φύσιν, οὐδ' ἂν οἴοιτο τεταπει-
νῶσθαί τι μὴ οὐχὶ δὴ πάντως ὑψοῦ τε καὶ ἀνωτάτω κείμενον, εἶτα καταφοιτῆσαν εἰς ὅπερ
οὐκ ἦν, τὸν δέ γε δούλου λαβόντα μορφὴν εἴσεταί που πάντως πρὸ αὐτῆς ἔχοντα τὸ κατὰ
φύσιν ἐλεύθερον καὶ τὸν γεγονότα ἄνθρωπον οὐκ οἶδεν ὄντα τοῦτο πρὶν γένηται. τῆς
τοίνυν ἁγίας καὶ θεοπνεύστου γραφῆς κένωσιν ὀνομαζούσης καὶ δούλου μορφὴν καὶ μέντοι
καὶ ἀνθρωπότητα καὶ τὸν ταῦτα ἐθελουσίως ὑπομείναντα λεγούσης εἶναι τὸν ἐκ θεοῦ πατρὸς
λόγον, τί παρατρέπουσιν αὐτοὶ πρὸς τὸ ἐναντίον τῆς οὕτω τεθαυμασμένης οἰκονομίας τὸ
εὔτεχνές, ἄνθρωπον τεθεοποιῆσθαι λέγοντες, ἵνα μηδὲν ἔτι διαφέρωσι Χριστιανοὶ τῶν τῆι Rom. 1, 25
κτίσει λελατρευκότων παρὰ τὸν κτίσαντα; ἢ τάχα που πεπλανῆσθαι δώσουσι μεθ' ἡμῶν
καὶ αὐτοὺς τοὺς ἁγίους ἀγγέλους, οὓς δὴ προστετάχθαι φησὶ τὸ γράμμα τὸ ἱερὸν προ- Hebr. 1, 6
σκυνῆσαι τὸν πρωτότοκον εἰσαχθέντα εἰς τὴν οἰκουμένην; τὸ δέ γε πρωτότοκος ὄνομα
πῶς ἂν ἁρμόσαι μὴ ἐνανθρωπήσαντι τῶι μονογενεῖ; εἰ γάρ ἐστιν ἀληθὲς ὡς ἐν πολλοῖς Rom. 8, 29

---

V, P [= hk], AWRU, D [= mn], Σ

2 ἐμψυχωμένην D 3 φησί V δὲ δὴ PAWRD δὲ V τε δὲ U 3/4 λέγειν καὶ ἀπο-τεθεῶσθαι P 4 οἴκησιν WR 4/5 παρ' ἡμῖν om AD παρ' om. U 5 οὐκ R ἀποπλη-ξίασ WR 6 θείασ VP 7 τῆι om. WRD 8 ἡγήσατο PWR γὰρ ἡγήσατο D μᾶλ-λον] μόνον WR 9 ἐν om V τε] δὲ WR οἳ δὲ] οὐδε V 10 μεθιστῶντεσ D καὶ om. P 11 τὸ θεοποιεῖσθαι D φασὶ τὸν U αὐτόν P 12/13 ἡμῖν ὡσ ἔοικεν VAD 14 κενώσεως] ταπεινώσεωσ WR 16 ὑπέμεινε VAD αὐτόν om. D 17 τὸν ἄνθρωπον VP 18 μηδὲ VP τιμᾶν PD αὐτὸν VPD αὐτῶ AWRU τινὶ VPDΣ τινὰ AWRU νέμεισ V μεμένηκε WR ἂν om. WR 20 ἀβελτερίασ R 21 θαρροῦσι PU 22 πλήρησ D ὢν WUD οἴοιτο UΣ νοοῖτο VPAWRD 22/23 ταπεινοῦσθαί VP 23 δὴ om. W τε om AD εἶτα] εἰ P καταφοιτήσασ R καταφοιτήσαντα D 24 γε om P λαβόντα δού-λου WR 24 πρὸ αὐτῆς om. W 25 εἶδεν U τοῦτον R τοιοῦτον W om. P ἂν γένηται U γεγένηται V 26 καὶ[2]] τὴν U 27 ἐθελουσίως om. D 27/28 τὸν ἐκ — λόγον εἶναι V τὸν ἐκ — λόγον P 28 περιτρέπουσιν U 29 τεθεοποιεῖσθαι D διαφέρουσι PU 30 που om WR 31 οἷσ δὴ που U 32 γε om. WR 33 ἂν om U ἁρμόσαιμι VA ἁρμόσαιμεν D μὴ om. D τὸ ὡσ VP

ἀδελφοῖς νοεῖται πρωτότοκος, τότε κατέβη πρὸς ἀδελφότητα, δηλονότι τὴν πρὸς ἡμᾶς,
Hebr. 2, 17 ὅτε καθ' ἡμᾶς γέγονεν ἄνθρωπος, ὁμοιωθεὶς κατὰ πάντα δίχα μόνης ἁμαρτίας. ἀπόχρη
M V 360 δὲ πρὸς εὐσέβειαν ἡμῖν τὸ λογίζεσθαι καὶ νοεῖν ὅτι θεοῦ γενομένη σὰρξ τοῦ ζωογονοῦντος
τὰ πάντα τὴν ζωοποιὸν αὐτοῦ δύναμιν καὶ ἐνέργειαν ἔχει, καταπλουτεῖ δὲ καὶ δόξαν ἄρρη-
τον καὶ ἀπρόσβλητον.
8 Ἀπεικὸς δὲ οὐδὲν τοὺς οἵ γε ταυτὶ φρονεῖν ἐγνώκασι, καὶ ἑτέρας τοῖς ἱεροῖς δόγμα-
σιν ἐπάγειν συκοφαντίας, ἀποφέροντας μὲν τοῦ προσώπου τοῦ μονογενοῦς ἃς ὑπομεμένηκεν
L III 1163 ὑπὸ τῶν Ἰουδαίων παροινίας, καὶ αὐτὸν ἐπὶ ταύταις τὸν κατὰ σάρκα θάνατον, ἀπονέμοντας
δὲ ὥσπερ υἱῶι κατ' ἰδίαν ἑτέρωι τῶι ἐκ γυναικός. δοκεῖ γὰρ αὐτοῖς οὐκ οἶδ' ὅπως διὰ
Prou. 9, 18. 14, 12. 16, 25 τῆς εἰς εὐσέβειαν οὐκ εὐθείας ὁδοῦ πρὸς πέταυρον ᾅδου καταπηδᾶν καὶ εἰς ᾅδου πυθμένα
κατὰ τὸ γεγραμμένον. ἔστιν μὲν γὰρ ὁμολογουμένως ἀπαθὲς τὸ θεῖον καὶ ἀνέπαφον
PG 264 παντελῶς, ὅτι μὴ κατὰ σῶμά ἐστιν, ἀλλ' ἐπέκεινα πάσης κτίσεως ὁρατῆς τε καὶ νοητῆς
καὶ ἐν ἀσωμάτωι καὶ ἀχράντωι καὶ ἀψαύστωι καὶ ἀπερινοήτωι φύσει· ἐπειδὴ δὲ ὁ μονο-
γενὴς τοῦ θεοῦ λόγος σῶμα λαβὼν ἐκ τῆς ἁγίας παρθένου καί, ὡς ἔφην ἤδη πλειστάκις,
Eph. 5, 2 ἴδιον αὐτὸ ποιησάμενος, ἑαυτὸν ὑπὲρ ἡμῶν προσκεκόμικεν εἰς ὀσμὴν εὐωδίας τῶι θεῶι καὶ
Hebr. 9, 14 πατρὶ ὡς ἄμωμον ἱερεῖον, ταύτηι τοι καὶ ὑπομεῖναι λέγεται πρὸς ἡμῶν τὰ εἰς τὴν σάρκα
αὐτοῦ γεγονότα. οὗ γὰρ ἴδιόν ἐστι τὸ σῶμα, τούτωι ἂν εἰκότως προσγράφοιτο καὶ τὰ
αὐτοῦ πάντα δίχα μόνης ἁμαρτίας. οὐκοῦν ἐπειδήπερ ἐνανθρωπήσας ἦν ὁ θεὸς λόγος,
μεμένηκε μὲν θεικῶς ἀπαθής, οἰκειούμενος δὲ ἀναγκαίως τὰ τῆς ἑαυτοῦ σαρκὸς παθεῖν λέ-
9 γεται κατὰ σάρκα, καίτοι τοῦ παθεῖν ἀπείρατος ὤν, καθὸ νοεῖται θεός. εὐσεβείας
οὖν δόκησις ἀποφέρει τῆς ἀληθείας αὐτούς, οὐκ ἐννοοῦντας ὅτι τετήρηται μὲν τὸ ἀπαθὲς
αὐτῶι, καθὸ καὶ ὑπάρχει καὶ ἔστι θεός, προσγράφεται δὲ καὶ τὸ παθεῖν ὑπὲρ ἡμῶν κατὰ
σάρκα, καθὸ θεὸς ὢν φύσει γέγονε σὰρξ ἤτοι τέλειος ἄνθρωπος. τίς γὰρ ἦν ὁ λέγων
Hebr. 10, 5-7 πρὸς τὸν ἐν τοῖς οὐρανοῖς πατέρα καὶ θεὸν θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλη-
σας [ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας]· σῶμα δὲ κατηρ-
τίσω μοι. τότε εἶπον, ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ θεός, τὸ θέλημά σου; ὁ γὰρ
ἔξω σώματος ὡς θεὸς ἑαυτῶι σῶμα κατηρτίσθαι φησίν, ἵνα τοῦτο ὑπὲρ ἡμῶν προσενέγκας
Ies. 53, 5 τῶι ἰδίωι μώλωπι πάντας ἡμᾶς θεραπεύσηι κατὰ τὴν τοῦ προφήτου φωνήν. πῶς δὲ καὶ
εἷς ὑπὲρ πάντων ἀπέθανεν ὁ πάντων ἀντάξιος, εἰ ἁπλῶς ἀνθρώπου τινὸς νοεῖται τὸ πά-
θος; εἰ δὲ πέπονθεν ἀνθρωπίνως, ὡς τὰ τῆς ἑαυτοῦ σαρκὸς οἰκειούμενος πάθη, τότε δὴ
τότε φαμέν, καὶ μάλα εἰκότως, ὡς τῆς ἁπάντων ζωῆς ἀντάξιος ὁ ἑνὸς νοεῖται κατὰ σάρκα
θάνατος, οὐχ ὡς ἑνὸς ὄντος τῶν καθ' ἡμᾶς, εἰ καὶ γέγονεν καθ' ἡμᾶς, ἀλλ' ὅτι θεὸς ὢν
φύσει σεσάρκωταί τε καὶ ἐνηνθρώπησεν κατὰ τὴν τῶν πατέρων ὁμολογίαν. εἰ δὲ ἀπο-
φέρουσι τινὲς τοῦ μονογενοῦς, ὡς ἀκαλλὲς καὶ ἀνάρμοστον καὶ ἀπεοικὸς αὐτῶι, τὸ κατὰ

---

V, P [= hk] AWR, U [usque ad 31 ἁπάντων], D [= mn], Σ

1 νοεῖται AWRUDΣ ἄρα εἰκότωσ νοεῖται VP τότε PWRUΣ ὅτε VAD καὶ κατέβη P ἀδελφότητα VPUΣ ἀνθρωπότητα AWRD πρὸς] καθ' AD 2 καὶ καθ' D γέγονε καθ' ἡμᾶσ W γέγονεν R 3 δὲ] γε A τοῦ θῦ WR ἢ θῦ P 4 τὴν δόξαν U 4/5 ἀπόρρητον WR 6 τοῖσ PD ταύτη D ἐγνωκόσι D καὶ om. U 7 ἀποφερούσασ WR 8 ἐκ PU ἀπονέμοντεσ W 9 κατ' ἰδίαν om. P 10 οὐχ ὁσίασ WR εὐθείασ A θείασ D πέτευρον R 11 μὲν om. AWRD 13 καὶ ἀχράντωι om. U 14 ἁγίας AWRUD ἁγίασ καὶ θεοτόκου VP καὶ om. P 15 αὐτῷ P ὑπὲρ ἡμῶν om. P 17 ἑαυτοῦ WR εἰκότως om. WR 18 ὁ om. WR θεὸς om. AD τοῦ θῦ U 19 μεμένηκε μὲν] καὶ μεμένηκε P ἀπαθὴσ θεικῶσ V δὲ] τὲ P 20 κατὰ σάρκα om. WR τὰ κατὰ VAD καίτοιγε WR ἀπείραστοσ PWRD 22 καὶ[1] om. VP προγράφεται D 23 κατὰ φύσιν P τελείωσ A 24 τοῖς om. WRUD 25/26 ὁλοκαυτώματα — ηὐδόκησασ σῶμα δὲ — μοι UΣ σῶμα δὲ — μοι ὁλοκαυτώματα — εὐδόκησασ VPAD σῶμα δὲ — μοι WR 26 ἧκον P ὁ θεός om. WR 27 σῶμα ἑαυτῷ U ἑαυτῷ τὸ σῶμα VP 28 καὶ om. A 29 τινὸσ ἀνθρώπου VP 31 — p. 96, 31 ζωῆς — κατ' αὐτοῦ om. U 32 τῶν om. W εἰ — ἡμᾶς om. PS 33 τε om. AWRD ἐνηνθρώπισε W δὲ καὶ WR 34 ἀκαλλές] ἀπαθὲσ καὶ ἀκαλλὲσ WR πεοικῶσ P

σάρκα πάθος, ἀναιρείτωσαν ὁμοίως αὐτοῦ καὶ τὴν ἐκ τῆς ἁγίας παρθένου κατὰ σάρκα
γέννησιν. εἰ γάρ ἐστι τῶν ἀπεοικότων αὐτῶι τὸ σαρκὶ λέγεσθαι παθεῖν, πῶς οὐ πρό
γε τούτου τὸ πρῶτον, τουτέστιν ἡ κατὰ σάρκα γέννησις ἢ καὶ ἅπαξ ἁπλῶς εἰπεῖν ὁ τῆς
ἐνανθρωπήσεως τρόπος; οἴχεται δὴ οὖν τὸ Χριστιανῶν μυστήριον καὶ μεματαίωται λοιπὸν M V 361
ἡ τῆς σωτηρίας ἐλπίς.

10 Ἀλλὰ γὰρ πῶς, φησίν, πάθοι ἂν ὁ παθεῖν οὐκ εἰδώς; ἀπαθὴς μὲν οὖν ὁμολογουμέ-
νως, ὡς ἔφην, κατ' ἰδίαν φύσιν ὁ ἐκ θεοῦ λόγος, λέγεται δ' οὖν σαρκὶ τῆι ἰδίαι παθεῖν L III 1166
κατὰ τὰς γραφάς· ἦν γὰρ αὐτὸς ἐν τῶι πάσχοντι σώματι. καὶ πιστώσεται γράφων ὁ 1 Petr. 4, 1 PG 265
Πέτρος περὶ αὐτοῦ· ὃς τὰς ἁμαρτίας ἡμῶν ἀνήνεγκεν ἐν τῶι σώματι αὐτοῦ 1 Petr. 2, 24
ἐπὶ τὸ ξύλον. οὐκοῦν ἀπαθὴς μὲν ὁ λόγος, καθὸ φύσει νοεῖται θεός, αὐτοῦ γε μὴν
κατ' οἰκείωσιν οἰκονομικὴν τὰ τῆς σαρκὸς αὐτοῦ νοεῖται πάθη. ἐπεὶ τίνα τρόπον ὁ
πρωτότοκος πάσης κτίσεως, ὁ δι' οὗ γεγόνασιν ἀρχαί τε καὶ ἐξουσίαι θρόνοι τε καὶ κυριό- Col. 1, 15
τητες, ὁ ἐν ὧι τὰ πάντα συνέστηκεν, πρωτότοκος ἐκ νεκρῶν καὶ ἀπαρχὴ γέγονε τῶν 1 Cor. 15, 20
κεκοιμημένων, εἰ μὴ τὸ παθεῖν πεφυκὸς ἴδιον ἐποιήσατο σῶμα θεὸς ὢν ὁ λόγος; ὥσπερ Col. 1, 18
δὲ γέγονε κατὰ σάρκα ἐκ γυναικός, τὴν καθ' ἡμᾶς ἀνθρωπίνως ἀπότεξιν οἰκειούμενος, καί-
τοι γέννησιν ἰδίαν ἔχων τὴν ἐκ πατρός, οὕτω καὶ σαρκὶ λέγεται παθεῖν καθ' ἡμᾶς τε καὶ
ἀνθρωπίνως, καίτοι φύσει προσὸν αὐτῶι τὸ ἀπαθὲς ἔχων, καθὸ νοεῖται θεός. οὕτως
γὰρ εἷς νοεῖται Χριστός, οὕτως ἐστὶν καὶ σύνεδρος τῶι πατρί, οὐχ ὡς ἄνθρωπος τῆι ἐνοι-
κήσει τοῦ θεοῦ λόγου τετιμημένος, ἀλλ' ὡς υἱὸς ἀληθῶς, καὶ ὅτε γέγονεν ἄνθρωπος.
τετήρηται γὰρ αὐτῶι τῆς οὐσιωδῶς ἐνυπαρχούσης ὑπεροχῆς τὸ ἀξίωμα, καὶ εἰ πέφηνεν
οἰκονομικῶς ἐν δούλου μορφῆι. οὐκοῦν καθὰ φαμέν, εἰ καὶ κοινωνὸς τῆς ἡμετέρας φύ-
σεως ἦν καθὸ ἄνθρωπος, ἀλλ' ἦν μετὰ τούτου καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν ὡς θεός.

11 Ἐπυθόμην δὲ τινὰς τῆς εἰς οὐρανοὺς ἀνόδου τὴν αἰτίαν ἐξηγουμένους εἰς χωρίον
αὐτὸν ἀναφοιτῆσαι λέγειν ἀσφαλές τε καὶ ἄσυλον, ἠξιῶσθαι δὲ καὶ τῆς πρὸς τὸν πατέρα
συνεδρίας, ἔνθα, φησίν, ὁ ἐχθρὸς τῆς ἡμετέρας φύσεως οὐ δύναται πλησιάσας αὐτῶι πάλιν
ἐπιβουλεῦσαι. φρούριον οὖν, εἰπέ μοι, γέγονεν ὁ οὐρανὸς αὐτῶι καὶ φυγὴ μᾶλλον, οὐκ
ἀνάληψις ἡ ἀφ' ἡμῶν ἀποδημία γέγονεν, ἐφ' ἧι καὶ καυχώμεθα; ἐδεδίει δὲ κατὰ τὸ εἰκὸς
μὴ ἄρα πως δευτέραν αὐτῶι συμπήξηι πάγην ὁ πονηρός, καὶ εἰ μὴ γέγονεν ἀνελθεῖν, ἐπε-
βουλεύθη ἄν, ὡς ἔοικεν, καὶ μετὰ τὴν ἀνάστασιν. τίς τῶν τοιούτων ἐμέτων οὐκ ἀπο-
φοιτήσει μακράν; ἢ τίς τῆς οὕτως αἰσχρᾶς τερατολογίας οὐκ ἀπαναστήσεται, πολλὰ χαίρειν
εἰπὼν τοῖς τὰ τοιαῦτα τολμῶσιν φρονεῖν ἢ λέγειν; ἄπαγε τῆς οὕτω μυσαρωτάτης καὶ
χαμαιπετοῦς ἐννοίας· οὐδὲν οἶμαι τούτων γραοπρεπέστερον οὐδὲ ἀμαθέστερον. ἥκει γὰρ

6—8 Flor. Cyr. 75 ἀπαθὴς — σώματι

V, P [= hk], AWR, D [= mn], Σ

1 ὁμοίωσ om. WR ἐξ ἁγίας P 2 γὰρ] δὲ WR τὸ om. VP 3 ἡ om. WR 4 λόγοσ D 5 τῆσ σωτηρίασ ἡ P τῆσ σωτηρίασ R 6 πάθοι ἂν] πάθοιεν R πάθοσ WR μὲν οὖν] μένων Flor. Cyr. μὲν AD 6/7 ὡσ ἔφην ὁμολογουμένωσ VAD 7 ἐκ] τοῦ WR Flor. Cyr. γοῦν AWRD Flor. Cyr. τῇ ἰδίᾳ σαρκὶ AD σαρκὶ Flor. Cyr. παθεῖν ὁ Χριστὸς Flor. Cyr. 8 ἦν γὰρ om. AD αὐτός] ὁ ἀπαθὴς Flor. Cyr. αὐτῷ τῷ D πιστώσεται AWRDΣ πιστώσεταί σε VP 9 ὡσ D ἡμῶν αὐτὸσ AD ἐν om. D 10 μὲν ἀπαθὴσ R νοεῖται φύσει n νοεῖται mWΣ 10/11 μὴν νοεῖται — αὐτοῦ πάθη V 11 τῆσ ἰδίασ αὐτοῦ σαρκὸσ WR 12 τε om WR 13 ὁ om. AD γέγονε] καὶ γεγέννηται WR 17 μὴ προσὸν AD ἀπαθῶσ V πάθοσ AD ἔχειν VP om. W 18 εἶσ WRΣ om. VPAD Χριστός] θσ̄ P σύνθρονοσ WR 19 θεοῦ om. WR υἱὸσ VADΣ θσ̄ PWR 21 φαμέν Σ φασὶν WR φησὶν VPAD 22 καθὸ ἄνθρωπος om. AD τοῦτο P 23 τινὸσ AD ἐξηγουμένου AD 25 συνεδρείασ WRD 27 ἡ — ἀποδημία AWRD ἀφ' ἡμῶν ἀποδημία P ἡ ἀποδημία ἡ ἀφ' ἡμῶν V καὶ om. WR 28 ἄρα πως] ἀπαρασπάστωσ P δευτέραν om. AD αὐτῶι om. AWRD συνπήξη R 29 καὶ om. R 30 ἢ om. WR τῆς om. P 31 τὰ om. D 32 οὐδὲν AD ἢ VP

εἰς τοῦτο χυδαιότητος ἐννοιῶν τὸ χρῆμα αὐτοῖς, ὡς οὐδὲν εἶναι τὸ αἴσχιον. ἀποπερά-
νας γὰρ ὁ Χριστὸς τὴν καθ' ἡμᾶς οἰκονομίαν καὶ πατήσας τὸν σατανᾶν καὶ πᾶσαν αὐτοῦ
τὴν δύναμιν κατασείσας, καταλύσας δὲ καὶ αὐτοῦ τοῦ θανάτου τὸ κράτος, ἐνεκαίνισεν ἡμῖν
Hebr. 9, 24 ὁδὸν πρόσφατον καὶ ζῶσαν, ἀναφοιτήσας εἰς τὸν οὐρανὸν καὶ ἐμφανισθεὶς ὑπὲρ ἡμῶν τῶι
PG 268 προσώπωι τοῦ θεοῦ καὶ πατρός, καθὰ γέγραπται· συνεδρεύει δὲ αὐτῶι καὶ μετὰ σαρκός,
M V 364 οὐχ ὡς ἄνθρωπος ἰδικῶς νοούμενος καὶ ἕτερος υἱὸς παρὰ τὸν αὐτοῦ λόγον οὐδὲ ὡς ἔνοι-
κον ἔχων αὐτόν, ἀλλ' ὡς υἱὸς ἀληθῶς εἷς τε καὶ μόνος, καὶ ὅτε γέγονεν ἄνθρωπος.
L III 1167 συνεδρεύει τοίνυν ὡς θεὸς θεῶι καὶ κύριος κυρίωι καὶ υἱὸς πατρὶ τῶι κατὰ ἀλήθειαν, φύσει
τοῦτο ὑπάρχων, κἂν εἰ νοοῖτο μετὰ σαρκός.

**12** Καὶ ἦν μὲν ἴσως διὰ μακρῶν ἔτι λόγων τῆς ἐκείνων ἀμαθίας καταδεῖξαι τὸ βάρα-
θρον· τὸ δὲ τοῖς οὕτω ψυχροῖς ἀντιλέγειν διὰ πλειόνων ἔτι τάχα που συναμαθαίνειν ἐστὶ
τοῖς ἐκεῖνα πεφλυαρηκόσιν. προσεπενεγκεῖν δὲ τοῖς εἰρημένοις ἀναγκαῖον οἶμαί που τὰ
Num. 20, 4 δι' ὧν οἴονται καταπτοεῖν δύνασθαι τὴν συναγωγὴν κυρίου κατὰ τὸ γεγραμμένον καὶ κατα-
Ps. 10, 2 τοξεύειν ἐν σκοτομήνηι τοὺς εὐθεῖς τῆι καρδίαι, τουτέστι τοὺς ἐν ἁπλότητι γνώμης δια-
βιοῦν ἡιρημένους καὶ τῆς πίστεως τὴν παράδοσιν καθάπερ τινὰ παρακαταθήκην λαβόντας
εἰς νοῦν ὑγιᾶ τε καὶ ἀπαράφθορον τηροῦντας αὐτήν. οἱ γάρτοι δεινοὶ πρὸς ἀπάτην καὶ
ἐννοιῶν εὑρήμασιν πολυπλόκως ἐξυφασμένοις τῆς τῶν ἀληθῶν ἀποκομίζοντες θήρας τοὺς
ἀμαθεστέρους, οἱ τὰς τῶν ἑτέρων αἱρετικῶν κακίας ἀπομιμούμενοι προτείνουσιν ἀμαθῶς ἃ
Habac. 2, 15 δὴ κἀκείνοις ἔθος, οὐκ ἐννοοῦντες τὸ γεγραμμένον· οὐαὶ ὁ ποτίζων τὸν πλησίον
**13** αὐτοῦ ἀνατροπὴν θολεράν. οἱ μὲν γὰρ τῆς Ἀρείου δυσσεβείας ὑπασπισταὶ τὸν
μονογενῆ τοῦ θεοῦ λόγον ἑτεροούσιον εἶναί φασιν καὶ ἐν δευτέροις τίθενται τοῦ γεννήσαντος
κτιστόν τε καὶ γενητὸν εἶναι διατείνονται καὶ τῆι κτίσει συντάττουσι τὸν δι' οὗ τὰ πάντα
καὶ ἐν ὧι τὰ πάντα· εἶτα τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ μονογενοῦς πολυπραγμονοῦντες
τὸ μυστήριον, κακουργότατα παραφθείρουσι τῆς ἀληθείας τὴν δύναμιν καὶ τῆς Ἀπολιναρίου
δόξης τὰ ἐγκλήματα προαρρωστοῦντες αὐτοὶ σάρκα μὲν λαβεῖν τὸν τοῦ θεοῦ λόγον διισχυ-
ρίζονται, ἐψυχωμένην γε μὴν νοερῶς ἥκιστά γε, εἶναι δὲ μᾶλλον αὐτὸν ἀντὶ νοῦ καὶ ψυχῆς
ἐν τῶι σώματι. κακουργότατα δέ, ὡς ἔφην, τοῦτο δρῶντες ἁλίσκονται. ἵνα γὰρ τὰς
ἀνθρωπίνας τοῦ κυρίου φωνὰς μὴ οἰκονομικῶς εἰρῆσθαι νομίζωμεν καὶ κατά γε τὸ πρέπον
τῆι ἀνθρωπότητι μέτρον, ἐπειδὴ γέγονεν ἄνθρωπος, ὑπεκκλέπτουσι τῆς σαρκὸς τὴν νοερὰν
τε καὶ ἔνοικον αὐτῆι ψυχήν. οὕτως αὐτὸν καὶ ὑποβιβάζουσιν καὶ ἐν μείοσιν εἶναί φασιν
οὐσιωδῶς τοῦ πατρός, τῆς κατ' αὐτοῦ συκοφαντίας τὰς ἀφορμὰς ἐκ τῶν ἱερῶν γραμμάτων
ἀνοσίως ἐρανιζόμενοι. ἀλλ' ἰδοὺ δὴ καὶ νῦν τῆς ἐκείνων ἀμαθίας οἱ ζηλωταὶ κατεπιφύ-

---

24 σ$^{\mu}$η ὅτι πρὸ τοῦ Ἀπολιναρίου οἱ ἀπὸ Ἀρείου σάρκα ἄψυχον ἀνειληφέναι τὸν κύριον ἐφλυάρησαν: — h in mg.

---

V, P [= hk], AWR, U [inde a 31 συκοφαντίας], D [= mn], Σ

1 χρῆ V  3 τὴν om. AD  αὐτὸ P  ἀνεκαίνισεν P  5 δὲ] γὰρ WR  καὶ om. R  6 τῶν V  7 μόνοσ ὑπάρχων VP  8 καὶ ὡσ υἱόσ WR  τῶι] τὸ WR  9 εἰ P om. VAWRD  10 ἴσωσ WRΣ ἴσωσ οὐ χαλεπὸν VPAD  ἀμαθείασ WR  12 ἐκεῖνα] τὰ ἐπάγειν A τὰ ἐπέκεινα D  προσενεγκεῖν A  13 καταπτοεῖ V  14 τουτέστι VADΣ om. PWR  14/15 τούς — διαβιοῦν] καὶ ὀρθῶσ βιοῦν P  15 εἰρημένουσ R  16 ὑγιᾶ PWRΣ ἁγίαν VAD  τε om. V  τηροῦντεσ VPR  17 εὑρέμασι P  πολυπλόκοισ R  ἀληθινῶν PW ἀληθινὸν R  18 τῶν om. A  ἄλλων WR  αἱρετικῶν om. AD  μιμούμενοι P  προτείνωσιν R  ἀληθῶσ W  19 ἔθοσ ἦν AD  ὁ ποτίζων PWRDΣ οἱ ποτίζοντεσ VA  τῷ PD  20 αὐτοῦ PWRDΣ αὐτῶν VA  ἀνατροπῆ θολερᾶ AR  21 τιθέντεσ P εἶναι τίθενται AD  22 γεννητὸν VWRD  τάττουσι P  25 προαρρωστοῦντεσ PWRΣ προσαρρωστοῦντεσ VAD  τοῦ θεοῦ] θῦ P  25/26 ἰσχυρίζονται AD  26 ἐμψυχωμένην VD  γε μὴν] δὲ AD  27 ἐν om. WR  τῶι om. P  πανουργότατα VAD  29 ὑποκλέπτουσι VWD ὑποκλέπτοντεσ P  30 αὐτῆσ WR  μείωσιν W μειώσει P  31 συκοφαντείασ R  32 δὴ om. AD  καὶ νῦν om. WR  32 οἱ τῆσ — ἀμαθίασ ζηηταὶ P  ἀμαθείασ WR

ονται πικροὶ τῶν τὰς Νεστορίου κενοφωνίας οὐ προσιεμένων καὶ τὴν ὀρθὴν καὶ ἀμώμη-
τον ἐκπολιορκοῦσι πίστιν, συρφετοὺς εἰκαίων συναγείροντες ἐννοιῶν. φασὶ μὲν γὰρ τὸν
θεσπέσιον Παῦλον εἰπεῖν περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ὅτι κεκένωκεν ἑαυτὸν
μορφὴν δούλου λαβὼν ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι Phil. 2, 7-9
εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι PG 269
θανάτου, θανάτου δὲ σταυροῦ. δι' ὃ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσεν καὶ 6
ἐχαρίσατο αὐτῶι ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. καὶ μὴν καὶ ἑτέρωθί που' ὅτι 2 Cor. 5, 19
ὁ θεὸς ἦν ἐν Χριστῶι, κόσμον καταλλάσσων ἑαυτῶι. καὶ πάλιν' ἐν ὧι Col 2, 19
κατώικησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. ἐφαρμόζονται δὲ καὶ M V 365
ταῖς τοῦ Πέτρου φωναῖς, ποτὲ μὲν λέγοντος Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ὡς ἔχρισεν Act. 10, 38
αὐτὸν ὁ θεὸς πνεύματι ἁγίωι καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώ- L III 1170
μενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου, ὅτι ὁ θεὸς
ἦν μετ' αὐτοῦ. καὶ πάλιν' τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν Act. 17, 30. 31
ὁ θεὸς τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πάντας πανταχοῦ μετανοεῖν,
καθότι ὥρισεν ἡμέραν κρίσεως, ἐν ἧι μέλλει κρίνειν τὴν οἰκουμένην, ἐν
ἀνδρὶ ὧι ὥρισεν, πίστιν παρασχὼν πᾶσιν ἀναστήσας αὐτὸν ἐκ νεκρῶν.
ταῦτα παραθέντες καὶ τὰ καθ' ἕτερον τρόπον ἀνθρωποπρεπῶς εἰρημένα προσερωτῶσιν
εὐθύς, ἐκ μοχθηρῶν ἐννοιῶν πικροὺς ἀναπτύοντες λόγους' τίνι δέδωκεν ὁ θεὸς καὶ πατὴρ
τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; ἆρα τῶι ἰδίωι λόγωι; καὶ πῶς οὐκ ἀπίθανον κομιδῆι τὸ
χρῆμα; φασίν. ἦν γὰρ ἀεὶ θεὸς ὡς ἐξ αὐτοῦ κατὰ φύσιν γεγεννημένος' ὄνομα δὲ τοῦτο
τὸ ὑπὲρ πᾶν ὄνομα νοοῖτ' ἂν εἰκότως. τί γὰρ ἐπέκεινα τοῦ κατὰ φύσιν θεοῦ; τίνα δὲ
κέχρικεν ἁγίωι πνεύματι; ἢ μετὰ τίνος ἦν ὁ θεός; προσεπάγοντες δὲ τούτοις τὰ ἕτερα
**14** διακυκῶσι λίαν καὶ θορύβου πιμπλᾶσι τῶν ἀκεραιοτέρων τὸν νοῦν. διορίζοντες δὲ παν- Iuda 19
ταχῆι (ψυχικοὶ γάρ εἰσι, πνεῦμα μὴ ἔχοντες) καὶ ἀποδιιστάντες εἰς υἱοὺς δύο τὸν ἕνα
Χριστὸν καὶ υἱὸν καὶ κύριον, ἐξ αὐτῶν ἁλώσονται τῶν ἰδίων ἐγχειρημάτων. ἕνα μὲν
γὰρ Χριστὸν καὶ υἱὸν ὁμολογεῖν ὑποπλάττονται καὶ ἓν αὐτοῦ πρόσωπον εἶναί φασιν, διαι-
ροῦντες δὲ πάλιν εἰς ὑποστάσεις δύο κεχωρισμένας τε καὶ ἀποφοιτώσας ἀλλήλων εἰς ἅπαν
τὸν τοῦ μυστηρίου παρευθύνουσι λόγον. φασὶν γὰρ δὴ τὸν ἐκ γυναικὸς ἤτοι τὴν τοῦ
δούλου μορφὴν ἰδίαι τε καὶ κατὰ μόνας τὸ ὑπὲρ πᾶν ὄνομα λαβεῖν, ὑπομεῖναι δὲ καὶ τὴν
χρίσιν τοῦ ἁγίου πνεύματος καὶ τὸ ἔχειν ἀεὶ συνόντα τὸν θεόν, τουτέστι τὸν ἐκ θεοῦ
πατρὸς λόγον' ἀβελτηρίας δὲ τῆς ἁπασῶν ἐσχάτης ἐξόζοντας ἐναργῶς ἐρεύγονται λόγους.

---

25—28 Timoth. arm. p. 69

---

V, P [= hk], AWUR, D [= mn], Σ

1 καινοφωνίασ UnΣ 2 μὲν om. D 3 παντόσ D ἡμῶν om. WR 4 καὶ ἐν WR 4/5 καὶ σχήματι — γενόμενος om. P 7 τὸ ὄνομα τὸ R που WRUDΣ πω A που φησὶν VP 8 ὁ om. VAUD ἑαυτῷ καταλλάσσων VPWR 9 κατώκηκε PAD ἐφαρμόζοντεσ WR ἐφορμίζονται U 10 τὰσ — φωνὰσ WR λέγοντεσ PU ναζαρέτ' ἄνδρα ἀποδεδειγμένον WR ὡς] ὃν PΣ 11 αὐτόν om. PΣ 12 ὁ om. P 13 οὖν om. PWR ἀγνοίασ ἡμῶν W 14 παραγγέλει V 15 κρίσεωσ om. WR 15/16 ἐν ἀνδρὶ PWRUΣ ἐν δικαιοσύνη ἐν ἀνδρὶ VAD 17 τά om. PWR προσεπερωτῶσιν AWD πρόσ επερώτησιν R om. Σ 18 πονηρῶν D ἀνάπτοντεσ AD θεὸς καὶ om. WR 19 τό[1] om. V ὄνομα αὐτοῦ D τὸ ὑπὲρ — ὄνομα om. P 20 ὡσ PWRUΣ om. VAD 20/21 γεγεννημένος — φύσιν om. P 20 γεγενημένοσ VA τούτω D 21 δὲ καὶ VAD 22 κέχρηκεν U ἢ] καὶ WR αὐτοῖσ WR 23 λίαν om. V θορύβων W θορύβοισ R πιμπλῶσι AUR πιπλῶσι W ἐμπιπλῶσι D ἀκεραίων PWR δὲ om. AWR 24 εἰσὶ γὰρ VA εἰσὶ D ἀποδιιστῶντεσ WRD 25 ἁλώσονται] ἀλογώτατα VAD 26 γὰρ om. WR τὸ πρόσωπον WR 27 δὲ καὶ WR τε] δὲ WR 28 παρευθύνουσι ARUD Tim. παραφθείρουσι W περαίνουσι P παρασύρουσι V γάρ] μὲν γὰρ D 29 ἰδίωσ WR 30 χρῆσιν VAD 31 ἀβελτερίασ R δὲ om. WR ἐνεργῶσ V ἐρεύονται R

Mt. 12, 34 πονηροὶ γὰρ ὄντες ἀγαθὰ λαλεῖν οὐκ ἂν δύναιντο κατὰ τὴν τοῦ σωτῆρος φωνήν. ἦν
μὲν γὰρ ὁμολογουμένως καὶ ἔστιν ἀεὶ θεὸς καὶ κύριος ὁ τὴν ἐκ θεοῦ πατρὸς γέννησιν
ἄποπτόν τε καὶ ἀπόρρητον ἔχων· ἐπειδὴ δὲ γέγονεν ἐκ γυναικὸς κατὰ σάρκα, παραδόξως
Lc. 1, 35 μὲν καὶ ὑπὲρ ἡμᾶς ἐν ἐπιφοιτήσει πνεύματος ἁγίου καὶ ἐν ἐπισκιασμῶι δυνάμεως θεοῦ, τὴν
Phil. 2, 7-10 δ' οὖν καθ' ἡμᾶς ἀπότεξιν ὑπομείνας (οὕτω γὰρ ἑαυτὸν κενῶσαι λέγεται ταπεινῶσαί τε καὶ
PG 272 ἐν ὑπακοῆι γενέσθαι τῆι μέχρι θανάτου καὶ σταυροῦ), ταύτηι τοι καὶ μάλα εἰκότως λέγεται
λαβεῖν τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, καὶ αὐτῶι κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ
ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι κύριος
Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός. οὐ γὰρ ἠγνόησεν ἡ λογικὴ κτίσις ὅτι
Hebr. 2, 14 θεὸς ἦν ὁ ἐνανθρωπήσας λόγος· εἰ γὰρ καὶ γέγονεν ἐν τοῖς καθ' ἡμᾶς καὶ παραπλησίως
ἡμῖν μετέσχεν αἵματος καὶ σαρκός, ἀλλ' οὖν οὐκ ἀποπεφοίτηκεν τοῦ εἶναι θεὸς οὐδὲ ἀπό-
βλητον ἐποιήσατο τὸ εἶναι ὃ ἦν. μεμένηκε γὰρ προσκυνητὸς εἰς δόξαν θεοῦ πατρός·
δόξα γὰρ αὐτῶι συμβασιλεύοντά τε καὶ συμπροσκυνούμενον ἑαυτῶι τὸν ἴδιον ἔχειν υἱόν,
εἰ καὶ γέγονεν οἰκονομικῶς ἄνθρωπος, ἵνα σώσηι τὴν ὑπ' οὐρανόν.
LIII 1171 **15** Οὐκοῦν ὅτε παρά τε τῶν ἁγίων ἀγγέλων καὶ ἡμῶν τῶν ἐπὶ τῆς γῆς ἐπιστεύθη καὶ
M V 368 μετὰ σαρκὸς ὡς εἴη θεὸς φύσει τε καὶ ἀληθῶς, τότε τὸ ὑπὲρ πᾶν ὄνομα νοεῖται λαβών,
οὐκ ἐν προσθήκης μοίραι τὸ χρῆμα κερδαίνων αὐτός (ὃ γὰρ ἦν τε καὶ ἔστιν ἀεί, πῶς ἂν
ὡς οὐκ ἔχων λάβοι;), ἐλλάμψαντος δὲ μᾶλλον ταῖς ἁπάντων διανοίαις τοῦ θεοῦ καὶ πατρὸς
καὶ τὸν σαρκωθέντα λόγον ὅτι θεὸς κατὰ φύσιν ἐστίν, ἀγνοηθῆναι μὴ συγχωρήσαντος.
Ioh. 6, 44 οὐδεὶς γάρ φησιν, δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με
**16** ἑλκύσηι αὐτόν. γέγονεν δὲ καὶ ἡ χρίσις αὐτῶι περὶ τὸ ἀνθρώπινον· ἅγιος γὰρ ὢν
κατὰ φύσιν, καθάπερ ἀμέλει καὶ ὁ πατήρ, ὁ ἐξ αὐτοῦ πεφηνὼς υἱὸς μονογενὴς κεχρίσθαι
λέγεται καθ' ἡμᾶς ἢ γοῦν ἡγιάσθαι παρὰ τοῦ πατρός, καθὸ πέφηνεν ἄνθρωπος. γράφει
Hebr. 2, 11. 12 γοῦν ὁ πάνσοφος Παῦλος περί τε αὐτοῦ καὶ ἡμῶν· ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγια-
ζόμενοι ἐξ ἑνὸς πάντες, δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς
καλεῖν, λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. οὐκοῦν κατὰ
φύσιν ἅγιος ὢν ὁ μονογενὴς καὶ ἁγιάζων τὴν κτίσιν, ὅτε κεχρημάτικεν ἡμῶν ἀδελφός,
τότε καὶ μεθ' ἡμῶν ἀνθρωπίνως κεχρίσθαι λέγεται, τὸ τῆι ἀνθρωπότητι πρέπον τε καὶ
ἐοικὸς οὐκ ἀτιμάσας μέτρον διὰ τὴν οἰκονομίαν. οὕτω γάρ πού φησιν καὶ πρὸς τὸν
Mt. 3, 15 θεσπέσιον βαπτιστὴν ὅτι πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην.
**17** εἰ δὲ δὴ λέγοιτο καὶ ὁ θεὸς εἶναι μετ' αὐτοῦ, πῶς ἠγνόησαν οἱ δεινοὶ σοφισταὶ ὅτι σύνε-
στιν ἀεὶ φυσικῶς ὁ πατὴρ τῶι υἱῶι, αὐτός τε ὢν ἐν αὐτῶι καὶ ἔχων αὐτὸν ἐν ἑαυτῶι;
Ioh. 14, 9 ἢ οὐ διαμέμνηνται λέγοντος τοῦ Χριστοῦ· τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ
Ioh. 10, 30 οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα· ἐγὼ καὶ ὁ
Ioh. 14, 10 πατὴρ ἕν ἐσμέν· οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῶι πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί

---

V, P [= hk], AWUR, D [= mn], Σ

1 ἂν om. AD δύνανται V δύνωνται P ἐδύναντο A δεδύνηνται D 2 γὰρ] οὖν P δ] καὶ ὁ P 3 ἄπτοτον R ἄτρεπτόν U τε om. WR ἀπαραδόξωσ R 4 ἐπιφοιτήσει δὲ U τοῦ ἁγίου πνσ̄ W ἐν om. VPAD 5 δ' οὖν PAD γοῦν VU δὲ WR καὶ κενῶσαι VAD 6 τῆι om. WR καὶ θανάτου καὶ P καὶ WR 7 τό[1] om. P 7/8 τε καὶ ἐπιγείων D 8 ἐξολογήσεται A ἐξομολογεῖται U 9 ἠγνόηκεν WR κτίσις] φύσισ V 10 λόγοσ WRU θσ̄ λόγοσ VP om. AD ἐν τοῖς om. WR τοῖσ D ἐν αὐτοῖσ P 11 μετέσχηκεν V οὐδὲ] οὐκ WR 12 τοῦ RD γὰρ υἱόσ U 13 δόξαν AD αὐτὸσ A τε om. VP προσκυνούμενον PR ἔχει AD ἔχων R 15 τε om. AD 17 ὁ αὐτὸσ AD ὃ om. WR καὶ ἐστὶν ἀεὶ WRU καὶ ἀεὶ ἐστὶ A καὶ ἐστὶ καὶ ἔσται ἀεὶ VP ἐστι καὶ ἀεὶ D 18 ὡς om. D ταῖσ τῶν WR 19 ὁ θσ̄ V om. WR ἀγνοῆσαι VAD 20 φησιν om. P 21 ἡ om. P χρῆσισ VRm 22 δ[2]] καὶ ὁ VAD om. WR πεφηνὼς υἱός om. D πέφηνεν ὡσ R πέφηνεν W 24 γὰρ om. PU, corr. U 25 αὐτοὺσ ἀδελφοὺσ PU 27 ὢν ὁ μονογενὴσ ἅγιοσ WR 30 ἐστὶν ἡμῖν WR 31 ὁ om. WR 33 τοῦ χῡ λέγοντοσ WR τὸ σοῦτω χρόνω R 34 ἔγνωσ R

ἐστιν; ἔφη δὲ καὶ ἑτέρωθι τοῖς μαθηταῖς προσλαλῶν· ἔρχεται ὥρα καὶ ἐλήλυθεν PG 273
ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια καὶ ἐμὲ μόνον ἀφῆτε, καὶ οὐκ εἰμὶ Ioh. 16, 32
μόνος, ὅτι ὁ πατὴρ [μου] μετ' ἐμοῦ ἐστιν. οὐ γάρτοι, καθὰ νομίζουσιν οἱ τῶν
ἀλλοτρίων ἐμέτων ἀσυνέτως ἀναπιμπλάμενοι, θεὸς ὢν ὁ λόγος ὡς ἕτερος ὢν υἱὸς μεθ'
ἑτέρου γέγονεν υἱοῦ, τοῦ ἀναληφθέντος ἀνθρώπου· τομὴ γὰρ τοῦτο καὶ διαίρεσις, υἱῶν
δυάδα παρακομίζουσα· ἀλλ' ἦν ὁ θεὸς καὶ πατὴρ μετὰ τοῦ υἱοῦ, τουτέστι τοῦ σαρκωθέντος
18 τε καὶ ἐνανθρωπήσαντος τοῦ θεοῦ λόγου· ἀχώριστος γὰρ ὁ πατὴρ τοῦ υἱοῦ. εἰ δὲ δὴ
μέλλει κρίνειν ὁ θεὸς τὴν οἰκουμένην ἐν ἀνδρὶ ὧι ὥρισεν, οὐκ ἂν οἴοιτό τις εὖ φρονῶν Act. 17, 31
ὅτι τὸν μονογενῆ φησι τὸ γράμμα τὸ ἱερὸν ὡς ἐν ἀνδρὶ νοουμένωι κατὰ μόνας υἱῶι τῶι
ἐκ γυναικὸς δικάσειν τὴν ὑπ' οὐρανόν, ἐκεῖνο δὲ μᾶλλον εὐσεβὲς ὑπάρχειν διαβεβαιού-
μεθα τὸ χρῆναι νοεῖν ὅπερ ἔφη Χριστός· οὐδὲ γὰρ ὁ πατὴρ κρινεῖ οὐδένα, ἀλλὰ Ioh. 5, 22. 23
πᾶσαν τὴν κρίσιν δέδωκεν τῶι υἱῶι, ἵνα πάντες τιμῶσι τὸν υἱόν, καθὼς
τιμῶσι τὸν πατέρα. ὁ γάρτοι θεος λόγος γεγονὼς ἄνθρωπος καὶ τελέσας ἐν ἀν-
δράσιν ἢ γοῦν τοῦτο μεθ' ἡμῶν ὀνομασθείς, οὐδὲν ἧττον ἔσται κριτὴς ὡς θεὸς καὶ κύριος
καὶ εἷς ὢν υἱός, ἐνόντος αὐτῶι καὶ τότε τοῦ θεοῦ καὶ πατρός. ἔχει γάρ, ὡς ἔφην, ἐν L III 1174
ἑαυτῶι τὸν γεννήσαντα, καὶ αὐτὸς δέ ἐστιν ἐν αὐτῶι. ὥσπερ δέ ἐστιν εἷς θεὸς καὶ M V 369 1 Cor. 8, 6
πατήρ, ἐξ οὗ τὰ πάντα, οὕτω καὶ εἷς κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ
19 πάντα. παρευθύνουσι δὲ οὐδὲν ἧττον ἐπὶ τὸ ἀκαλλὲς καὶ τὸ ὀρθῶς εἰρημένον διὰ τῆς
τοῦ μακαρίου Παύλου φωνῆς. ὃ μὲν γὰρ ἔφη, καὶ μάλα ὀρθῶς, ὅτι θεὸς ἦν ἐν Χρι- 2 Cor. 5, 19
στῶι, κόσμον καταλλάσσων ἑαυτῶι· οἱ δὲ πάλιν παχεῖάν τινα τῶι ἑνὶ Χριστῶι
καὶ υἱῶι τὴν τομὴν ἐπιφέροντες ἀποδιιστᾶσιν εἰς ἅπαν τὸν θεὸν λόγον καὶ ὡς ἐν ἑτέρωι
τινὶ νοουμένωι Χριστῶι κατὰ μόνας εἶναί φασιν αὐτόν, ἵνα μὴ μᾶλλον σεσαρκωμένος, ἀλλ'
ἐνοικήσας ἀνθρώπωι νοῆται. ἀλλ' ὅ γε τῶν ἱερῶν γραμμάτων σκοπὸς οὐχ ὧδε ταῦτα
ἔχειν ἐφίησιν, ὦ σοφοί. συγχεῖτε γὰρ τὴν ἀνάγνωσιν, τὴν τῶν ἐννοιῶν δύναμιν ἐφ' ἃ
μὴ προσῆκεν, ἀποκομίζοντες, καίτοι δέον ἡμᾶς αἰχμαλωτίζειν πᾶν νόημα εἰς τὴν ὑπα- 2 Cor. 10, 5
κοὴν τοῦ Χριστοῦ, καθὰ γέγραπται. ἦν γὰρ ὁ θεὸς ἑαυτῶι κόσμον καταλλάσσων
ἐν Χριστῶι· καταλλαττόμενοι γὰρ τῶι Χριστῶι τὰς πρὸς θεὸν καὶ πατέρα ποιούμεθα καταλ-
λαγάς, ὅτι μὴ ἕτερος παρ' αὐτὸν κατά γε τὸ ἐν οὐσίαι ταυτὸν ὁ ἐξ αὐτοῦ θεὸς λόγος,
ἀδικούμενος οὐδὲν εἴς γε τὸ εἶναι κατὰ φύσιν υἱός, καὶ εἰ γέγονεν ἄνθρωπος· ἦν γὰρ τοῦτο
καὶ μετὰ σαρκός. ὅτι δὲ τὴν καταλλαγὴν ἐσχήκαμεν ἐν Χριστῶι καὶ αὐτός ἐστιν ἡ Eph 2, 14 PG 276
εἰρήνη ἡμῶν, τίς ὁ μὴ φάναι τολμῶν; αὐτὸς γάρ ἐστιν ἡ θύρα καὶ ἡ ὁδὸς καὶ ἐν Ioh 10, 9. 14, 6
αὐτῶι κατώικηκε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. Col 2, 9

20 Ἀλλ' ὀρθόν μοι πάλιν ἵστησι τὸ οὖς ὁ πικρὸς εἰς θεωρίας καὶ δεινὸς εἰς συκοφαντίας
καὶ δὴ καί φησιν· εἰ ἕτερος ὁ κατοικῶν, ἕτερος δὲ ὁμοίως ὁ ἐν ὧι κατοικῆσαι λέγεται,

---

V, P [= hk], AWUR, D [= mn], Σ

1 ἐστιν om WRU μαθηταῖσ WRΣ ἁγίοισ μαθηταῖσ AUD ἁγίοισ αὐτοῦ μαθηταῖσ VP καὶ νῦν UΣ 2 σκορπισθήσεσθε D κἀμὲ ARD 3 post ὅτι superscr καὶ W μου om. AWRU 4 ἐμέτων om P ἀναπιμπλώμενοι D 5 ἀναλημφθέντοσ R 6 τουτέστι μετὰ V om WR 7 τε om P τοῦ θῦ VPΣ om AWRUD 8 ὁ θσ̄ κρίνειν P κρίνειν τὴν — ὧσ [ὁ D] θσ̄ VAD ἐν δικαιοσύνῃ ἐν ἀνδρὶ WR νοοῖτο D 9 νοούμενον U καὶ κατὰ VWRU τῶι] τὸ P 11 ὅτιπερ AWD ἔφη Χριστός] ἔχει ὁ υσ̄ P 12 τὴν κρίσιν πᾶσαν U 14 ἐστὶ PΣ 15 συνόντοσ τε WR ὡς ἔφην om WR 16 δέ[1]] γάρ WR om U θεὸς om U, corr U, ὁ θσ̄ AD καὶ] ὁ PU^corr 17 Χριστός om WR 18 ἀκαλέσ V καὶ om WR 19 μακαρίου om P ὃ — ἔφη VAUΣ ἔφη γὰρ WR ἔφη μὲν γὰρ P 20 καταλάσσων PWD ἑνὶ] ἐν P 21 ἀποδιιστῶσιν VPWRUD εἰς ἅπαν om U θεοῦ PA ἐν om VP 24 ἔχειν] εἶναι V, corr. V^mg 25 ὑμᾶσ AD 26 ἑαυτῷ PWRUΣ ἐν αὐτῷ [ἐν ἑαυτῷ D] τὸν VAD καταλάσσων PWD 27 καταλλασσόμενοι R καταλασσόμενοι W καταλαττόμενοι D τὸν θν̄ WR καὶ om AD ποιούμενοι R ποιοῦμεν W 28 τὸ] τὸν R 33 ὀρθοτομοῖ πάλιν καὶ D ὁ] ὅτι WR θεωρείασ R θεωρίαν W συκοφαντείασ R 34 δ[2] om. WR

πῶς οὐκ ἀναγκαῖον διαιρεῖσθαι τὰς ὑποστάσεις καὶ ὑφεστάναι λέγειν ἀνὰ μέρος ἑκατέραν;
εἶτα ὅποι ποτὲ λοιπὸν τὸ ἓν πρόσωπον, εἰπέ μοι· ἓν γὰρ πρόσωπον τοῦ Χριστοῦ προσ-
ποιοῦνται λέγειν, δύο δὲ ὑποστάσεων ἰδίαι τε καὶ ἀνὰ μέρος κειμένων ἔσονταί που πάν-
τως καὶ πρόσωπα δύο. ἀλλ' εἰσβαίνουσι νομοθέται, τὸ αὐτοῖς δοκοῦν ὡς ὀρθῶς ἔχον
πάντηι τε καὶ πάντως κρατύνοντες. διαιροῦντες γάρ, φασίν, τὰς ὑποστάσεις ἑνοῦμεν
τὸ πρόσωπον. καὶ πῶς οὐκ ἀπίθανον τοῦτο καὶ ἀμαθὲς καὶ ἀμήχανον; θεωρίαι μὲν γάρ,
ὡς ἔφην, ἑτεροούσιον οὖσαν τὴν σάρκα παρὰ τὸν ἑνωθέντα αὐτῆι λόγον κατίδοι τις ἄν·
ἐπειδὴ δὲ υἱὸν ἕνα καὶ Χριστὸν καὶ κύριον αἱ θεόπνευστοι λέγουσι γραφαὶ καὶ τῆς πίστεως
ἡ παράδοσις οὕτως ἔχει καὶ οὐχ ἑτέρως, συνενεγκόντες ἡμεῖς εἰς ἀδιάτμητον ἕνωσιν ἐψυ-
χωμένηι νοερῶς τῆι σαρκὶ τὸν ἐκ θεοῦ πατρὸς λόγον ἕνα Χριστὸν καὶ υἱὸν ὁμολογοῦμεν
ὑπάρχειν. ὡς δὲ ἑνὸς ὄντος υἱοῦ, καὶ ἓν αὐτοῦ φαμὲν εἶναι πρόσωπον, ἑπόμενοι παν-
Lc. 1, 2 ταχοῦ τῶι θείωι τε καὶ ἱερῶι κηρύγματι καὶ τοῖς ἀπ' ἀρχῆς αὐτόπταις καὶ ὑπηρέταις γενο-
μένοις τοῦ λόγου, τοὺς δὲ ἕτερόν τι παρὰ τοῦτο φρονεῖν εἰωθότας καὶ συλλογισμῶν ἀσυ-
νέτων εὑρήμασιν, ἐφ' ἃ μὴ προσῆκεν, ἐκτετραμμένους ἀποπεμψόμεθα τῆς πρὸς ἑαυτοὺς
L III 1175 κοινωνίας, λέγοντες· πορεύεσθε τῶι φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῆι φλογὶ ἧι
Ies. 50, 11 ἐξεκαύσατε.

M V 372 21 Ἐπειδὴ δὲ μανθάνω τῶν ἀσυνέτων τινὰς περινοστοῦντας λέγειν ὡς κεκράτηκε παρὰ
τοῖς κατὰ τὴν Ἑώιαν ἅπασιν θεοσεβεστάτοις ἐπισκόποις ἡ Νεστορίου κακοδοξία καὶ εὖ
ἔχειν ὑπείληπται παρ' αὐτοῖς καὶ αὐτῆι μᾶλλον ἕπεσθαι χρή, δεῖν ὠιήθην κἀκεῖνο μηνῦσαι. οἱ
γάρτοι κατὰ τὴν Ἑώιαν ἅπαντες θεοσεβέστατοι ἐπίσκοποι ἅμα τῶι κυρίωι μου τῶι θεοσεβεστά-
τωι ἐπισκόπωι τῆς Ἀντιοχέων ἐκκλησίας Ἰωάννηι δι' ἐγγράφου καὶ σαφοῦς ὁμολογίας φανερὸν
ἅπασιν κατέστησαν ὅτι τὰς μὲν βεβήλους Νεστορίου κενοφωνίας κατακρίνουσί τε καὶ ἀνα-
θεματίζουσι μεθ' ἡμῶν καὶ οὐδενὸς ἠξίωσαν αὐτὰς πώποτε λόγου, ἀλλὰ τοῖς ἀποστολικοῖς
τε καὶ εὐαγγελικοῖς ἕπονται δόγμασιν καὶ τὴν τῶν πατέρων ὁμολογίαν κατ' οὐδένα λυποῦσι
ep. 123. 127 τρόπον. ὡμολόγησαν γὰρ καὶ αὐτοὶ μεθ' ἡμῶν ὅτι καὶ θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος
καὶ οὐ προσέθεσαν ὅτι Χριστοτόκος ἢ ἀνθρωποτόκος, καθά φασιν οἱ τὰ Νεστορίου δύστηνα
καὶ ἀπόπτυστα δοξάρια θεραπεύοντες. ἀλλὰ γὰρ καὶ ἔφασαν ἐναργῶς ἕνα εἶναι Χριστὸν
PG 277 καὶ υἱὸν καὶ κύριον τὸν ἐκ θεοῦ μὲν πατρὸς πρὸ παντὸς αἰῶνος ἀπορρήτως γεννηθέντα
θεὸν λόγον, ἐν ὑστέροις δὲ καιροῖς τὸν αὐτὸν καὶ ἐκ γυναικὸς κατὰ σάρκα, ὥστε τὸν
αὐτὸν εἶναι θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, τέλειον ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι
τὸν αὐτόν, καὶ ἓν αὐτοῦ τὸ πρόσωπον εἶναι πιστεύουσιν, κατ' οὐδένα διαιροῦντες τρόπον

2—6 Timoth. arm. p. 69. 180   20—23 οἱ γάρτοι — μεθ' ἡμῶν Doctr. patr. 23, 7

V, P [= hk], AWRU, D [= mn], Σ

1 ἑκάτερον V corr AD   2 εἰπέ — πρόσωπον om. A   ὑπέ V   εἰ ἓν V   γὰρ om. U   4 εἰσβαίνουσι] ἀσεβοῦσιν ὡσ V   ὡς ὀρθῶς] ὀρχῶσ [sic] U   ἔχοντα R ἔχειν U   5 πάντωσ τε καὶ πάντη P   ἐπικρατύνοντεσ U   ἑνοῦσι V ἐννοοῦμεν D   6 καὶ ἀμαθὲς om. R   θεωρίαν D   γάρ om. R   7 οὖσαι V εἶναι WR   9 ἡμεῖς om. AD   9/10 ἐψυχωμένην P ἐμψυχωμένην D   11 τοῦ υἱοῦ VP   τὸ πρόσωπον WR   12 τε om. P   αὐτόπται P, corr. k   τέ καὶ W   13 καὶ] ἢ P   14 ἐκτετρεμμένουσ D   ἀποπεμψώμεθα AWUD   πρὸς ἑαυτοὺς] ἑαυτῶν D   15 ἡμῶν VU   17 παρὰ om. AU   18 κατὰ VWR ἀνὰ A παρὰ U om. P   ἅπασαν U   θεοσεβεστάτοις om. PΣ   κενολογία WR   19 ταύτη D   δεῖν ὠιήθην ἕπεσθαι χρή WR   20 ἅπαντεσ PWRΣ ἅπασαν U πᾶσαν VAD   20/21 ἅμα — Ἰωάννηι om. P   21 ἐπισκόπω om. U   τῆσ — ἐκκλησίασ ἐπισκόπω V   ἐκκλησίας om. WR   καὶ δι' WRU Doct.   22 ἅπαντεσ P   νεστορίου βεβήλουσ VAD   κενοφωνίασ νεστορίου P καινοφωνίασ D   23 αὐτάσ ἠξίωσαν WR   23/24 ἀποστολικοῖσ τε [τε om. WR] καὶ εὐαγγελικοῖσ WRU εὐαγγελικοῖσ [τε add. AD] καὶ ἀποστολικοῖσ VPAD   26 ὅτι καὶ WR   χριστοτόκοσ ἐστὶν VP   νεστορίου τὰ V   27 εἶναι om. D   27/28 υἱὸν καὶ $\overline{\chi\nu}$ AD   28 καὶ υἱὸν om. P   29 ἐσχάτοισ WR   καὶ om. U   ὡσ WR   30 τε om. WR   τέλειον εἶναι A   καὶ² om. WR   31 τὸ πρόσωπον εἶναι VPU πρόσωπον εἶναι AD εἶναι πρόσωπον WR

εἰς δύο υἱοὺς ἢ Χριστοὺς ἢ κυρίους. ἐὰν τοίνυν καταψευδόμενοί τινες λέγωσιν ἕτερά τινα παρὰ ταῦτα φρονεῖν αὐτούς, μὴ πιστευέσθωσαν, ἀλλ' ὡς ἀπατεῶνες καὶ ψεῦσται κατὰ τὸν ἑαυτῶν πατέρα διάβολον ἀποπεμπέσθωσαν, ἵνα μὴ ταράττωσι τοὺς ἐθέλοντας ὀρθοποδεῖν. ἐὰν δὲ καὶ ἐπιστολὰς ἑαυτοῖς συντιθέντες τινὲς περιφέρωσιν ὡς ἐκ προσώπου γραφείσας ἀνδρῶν ἐπιφανεστέρων, οὐκ ὀφείλουσι θαρσεῖσθαι· οἱ γὰρ ἅπαξ ἐγγράφως ὁμολογήσαντες τὴν πίστιν πῶς ἕτερα γράφειν δύνανται, καθάπερ ἐκ μετανοίας εἰς τὸ μηκέτι βούλεσθαι φρονεῖν ὀρθῶς παρενηνεγμένοι;

Πρόσειπε τὴν σὺν σοὶ ἀδελφότητα. σὲ ἡ σὺν ἡμῖν ἐν κυρίωι προσαγορεύει. ἐρρῶσθαί σε ἐν κυρίωι εὔχομαι.

---

V, P [= hk], AWRU, D [= mn], Σ

1 ἐάν VP ἄν AWRUD ψευδόμενοι WR λέγουσιν U 2 ταύτασ U 2/3 ἀλλ' — ἀποπεμπέσθωσαν om. R 2 καὶ ψεῦσται om. P 3 αὐτῶν AWD τὸν διάβολον V μή om. A θορυβῶσι W θορυβοῦσι R θέλοντασ AD 4 παραφέρωσιν AUD ἐπιφέρωσιν WR 5 περιφανεστέρων U θαρρεῖσθαι WRD 6 μὴ P 8/9 πρόσειπε — εὔχομαι om. AUDΣ 8 σύν[1] VP παρά WR 9 ἐρρῶσθαί — εὔχομαι om. WR

# INDICES

## I

## IN HAC VOLVMINIS I PARTE III CONTINENTUR


Constitutio ad Isidorum scripta de relegatione Nestorii . . . . . . . . . . . 110 p. 67
constitutio de Nestorianis . . . . . . . . . . . . . . . . . . . . . . 111 p. 68
imperatoris scriptum ad synodum per Palladium . . . . . . . . . . . . . 83 p. 9. 10
sacra per Iohannem comitem sacrarum largitionum destinata . . . . . . . . . 93 p. 31. 32
edictum praefectorum praetorio . . . . . . . . . . . . . . . . . . . . 112 p. 69 70

Gesta Ephesi d. 10 et 11 m. Iul. a. 431 cum epistula Caelestini ad synodum . . 106 p. 53—63
gesta Ephesi d. 16 et 17 m. Iul. a. 431 . . . . . . . . . . . . . . . 87—90 p. 15—26
synodi epistula uniuersalis . . . . . . . . . . . . . . . . . . . . . 91 p. 26—28
synodi mandatum episcopis Constantinopolim directis . . . . . . . . . . . 95 p. 33—36
synodi relatio ad imperatores de Nestorii damnatione . . . . . . . . . . 81 p. 3—5
synodi relatio ad imperatorem destinata per Palladium . . . . . . . . . . 84 p. 10—13
synodi relatio ad imperatores de legatis Romanis per Eutychen diaconnm . . . . 107 p. 63. 64
synodi relatio ad imperatores de Orientalibus . . . . . . . . . . . . . 92 p. 28—30
synodi relatio ad sacram ab Iohanne comite sacrarum largitionum lectam . . . . 94 p. 32. 33
synodi relatio ad imperatores per legatos . . . . . . . . . . . . . . . 108 p. 65. 66
synodi ep. ad imperatores . . . . . . . . . . . . . . . . . . . . . . 102 p. 47. 48
synodi ep. ad clerum et populum Constantinopolitanum de depositione Nestorii . . 85 p. 13. 14
synodi ep. ad clerum Constantinopolitanum . . . . . . . . . . . . . . . 105 p. 51—53
synodi ep. ad episcopos Constantinopoli degentes . . . . . . . . . . . . 99 p. 43. 44
synodi ep. ad Caelestinum . . . . . . . . . . . . . . . . . . . . . . 82 p. 5—9
Orientalium mandatum episcopis Constantinopolim directis et tomus . . . . . . 96 p. 36—39
Orientalium legatorum ep. ad Rufum Thessalonicensem . . . . . . . . . . . 97 p. 39—42

Synodi Constantinopoli degentis epistula . . . . . . . . . . . . . . . . 113 p. 70 71
episcoporum Constantinopoli degentium ep. ad synodum . . . . . . . . . . 98 p. 42. 43
cleri Constantionpolitani ep. ad synodum . . . . . . . . . . . . . . . . 86 p. 14. 15
cleri Constantinopolitani petitio pro synodo . . . . . . . . . . . . . . 103 p. 49. 50
narratio de Maximiani ordinatione . . . . . . . . . . . . . . . . . . 109 p. 67

Alypii presbyteri Constantinopolitani ep. ad Cyrillum . . . . . . . . . . 116 p. 74. 75
Cyrilli apologeticus ad Theodosium . . . . . . . . . . . . . . . . . . 118 p. 75—90
,, ep. ad clerum Constantinopolitanum [ep. 27] . . . . . . . . . . . 100 p. 45. 46
,, ep. ad Theopemptum Potamonem et Danihelem [ep. 28] . . . . . . . . 104 p. 50. 51
,, ep. ad Maximianum [ep. 31] . . . . . . . . . . . . . . . . . . 115 p. 72—74
,, ep. ad Valerianum [ep. 50] . . . . . . . . . . . . . . . . . . 119 p. 90—101
Maximiani ep. ad Cyrillum [Cyr. ep. 30] . . . . . . . . . . . . . . . 114 p. 71
Memnonis ep. ad clerum Constantinopolitanum . . . . . . . . . . . . . . 101 p. 46. 47

# II

## ADFERVNTVR

*Caelestini apistulae ratio habita non est*

Exod. 23, 7 . . . 87, 22
Num. 20, 4 . . . 96, 13
25, 11 . . . 74, 32
Deut. 1, 17 . . . 86, 20
3 Reg. 18, 21 . . . 74, 30
19, 14 . . . 83, 4. 85, 15
4 Reg. 17, 12. 16 . . . 81, 36
1 Paralip. 16, 31 . . . 72, 4
2 Paralip. 28, 24 . . . 82, 2
2 Paralip. 29, 1. 5. 6. 11. 12.15—18. 20. 21 : 82, 5—23
1 Esra 4, 36 . . . 75, 30
Ps. 10, 2 . . . 96, 14
11, 4 . . . 90, 5
13, 3 . . . 40, 11. 79, 11
37, 18 . . . 51, 15
43, 23 . . . 43, 15
49, 20 . . . 22, 7
52, 3—7 . . . 87, 7
74, 6 . . . 72, 6
79, 19 . . . 73, 17
103, 14 . . . 76, 2
118, 46 . . . 49, 16
130, 3 . . . 76, 3
138, 21. 22 . . . 81, 25
140, 4 . . . 85, 13
Prov. 4, 26 . . . 73, 4
9, 18 . . . 73, 10. 94, 10
14, 12. 16, 25 . . . 94, 10
18, 19 . . . 71, 21
21, 1 . . . 89, 14
21, 28 . . . 22, 6
22, 8 . . . 73, 8
22, 28 . . . 39, 19
24, 22b . . . 22, 25. 86, 7
Eccles. 7, 72 . . . 73, 12
κατὰ τὸν Σολομῶντος λόγον [?] . . . 79, 3
Iob 7, 21 . . . 76, 5
11, 12 . . . 24, 19
14, 17 . . . 76, 6
Sir. 4, 28 . . . 89, 29
Ies. 5, 4 . . . 80, 29
22, 15—25 . . . 74, 1
28, 15 . . . 85, 18
50, 11 . . . 100, 15
53, 5 . . . 94, 28
Ier. 2, 35 . . . 76, 31
9, 8. 9 . . . 85, 7
20, 2 . . . 89, 6
33, 13 . . . 89, 9
Baruch 3, 36—38 . . . 72, 17
3, 38 . . . 79, 13
Ezech. 33, 2—6 . . . 77, 12
33, 8 . . . 78, 20
Ezech. 34, 14 . . . 73, 34
34, 29 . . . 73, 27
Dan. 7, 20 . . . 72, 5
Bel et drac. 27, 14—22 . . . 74, 33
Amos 7, 10 . . . 89, 8
Habac. 2, 15 . . . 96, 19
Zach. 7, 9 . . . 83, 26. 86, 19
Mal. 2, 7 . . . 87, 29
Mt. 3, 15 . . . 98, 30
5, 11. 12 . . . 88, 28
7, 15 . . . 83, 14
10, 24 . . . 89, 34
10, 25 . . . 89, 32
10, 28 . . . 79, 33
10, 32 . . . 71, 10
10, 39 . . . 71, 26
12, 24 . . . 78, 7
12, 34 . . . 98, 1
18, 18 . . . 40, 34
26, 38 . . . 41, 20
26, 39 . . . 41, 18
27, 46 . . . 41, 18
Lc. 1, 2 . . . 72, 36. 100, 12
1, 35 . . . 98, 4
1, 78 . . . 79, 12
Ioh. 1, 14 . . . 41, 10. 92, 32
3, 6 . . . 91, 16
3, 20 . . . 20, 2
4, 24 . . . 91, 20
5, 22. 23 . . . 99, 11
6, 44 . . . 98, 20
6, 50 . . . 71, 14
10, 9 . . . 99, 31
10, 15 . . . 72, 9
10, 30 . . . 98, 34
12, 27 . . . 41, 20
14, 6 . . . 99, 31
14, 9 . . . 98, 33
14, 10 . . . 98, 35
15, 20 . . . 89, 32
16, 32 . . . 99, 1
Act. 1, 20 . . . 61, 18
10, 38 . . . 97, 10
17, 30. 31 . . . 97, 13
17, 31 . . . 99, 8
Rom. 1, 25 . . . 93, 30
6, 4. 5 . . . 79, 19
8, 29 . . . 91, 25. 93, 33
1 Cor. 2, 16 . . . 91, 11
4, 9 . . . 71, 7
8, 6 . . . 99, 16
12, 3 . . . 78, 6
15, 20 . . . 95, 13

1 Cor. 15, 33 . . . 79, 2
2 Cor. 2, 11 . . . 91, 11
5, 19 . . . 97, 7. 99, 19
10, 5 . . . 99, 25
13, 12 . . . 79, 1
Gal. 6, 17 . . . 71, 10
Eph. 2, 14 . . . 79, 16. 99, 30
5, 2 . . . 72, 10. 94, 15
6, 12 . . . 71, 17
Phil. 1, 29 . . . 71, 8
2, 6—8 . . . 93, 6
2, 7—10 . . . 98, 5
2, 7—9 . . . 97, 4
2, 15. 16 . . . 72, 37
3, 14 . . . 73, 5
3, 19 . . . 88, 16
Col. 1, 15 . . . 95, 12
1, 16 . . . 75, 29
1, 18 . . . 95, 13
2, 9 . . . 99, 31
2, 19 . . . 97, 8
1 Tim. 1, 7 . . . 91, 18
6, 16 . . . 75, 28
Tit. 3, 1 . . . 49, 11
Hebr. 1, 6 . . . 93, 31
2, 11. 12 . . . 98, 24
2, 14 . . . 92, 13. 98, 10
2, 16. 14 . . . 72, 24
2, 16. 17 . . . 92, 5
2, 17 . . . 94, 2
3, 1 . . . 43, 14
4, 15 . . . 72, 26
6, 19 . . . 72, 30
9, 14 . . . 94, 16
9, 24 . . . 96, 4
10, 5—7 . . . 94, 24
11, 37. 38 . . . 43, 16
1 Petr. 1, 18 . . . 72, 8
2, 9 . . . 77, 9
2, 24 . . . 95, 9
4, 1 . . . 79, 22. 95, 7
Iac. 1, 12 . . . 71, 22
3, 2 . . . 76, 14. 29
Iud. 19 . . . 97, 23
Apoc. 2, 10 . . . 71, 12

V 4 . . . 4, 22. 6, 30. 42, 17
V 5 . . . 6, 35
V 6 . . . 88, 6
V 7 . . . 77, 1
V 8 . . . 77, 2
V 9 . . . 53, 29. 58, 3. 64, 3
V 10 . . . 61, 24
V 11. 12 . . . 58, 3
V 20 . . . 7, 4
V 25 . . . 4, 18, 6, 4
V 30 . . . 84, 9
V 31 . . . 38, 17
V 33 . . . 60, 5
V 45 . . . 66, 28. 88, 10
V 53 . . . 81, 15
V 67 . . . 14, 20
V 81 . . . 16, 16. 28, 25. 32, 33
V 83 . . . 38, 17. 64, 24
V 84 . . . 33, 3
V 87 . . . 8, 5. 86, 8
V 91 . . . 70, 21. 28
V 92 . . . 66, 16
V 93 . . . 38, 17. 45, 8. 48, 11. 51, 4
V 94 . . . 45, 10
V 96 . . . 42, 23. 28
V102 . . . 44, 31. 45, 7. 66, 16
V106 . . . 64, 5
V123. 127 . . . 100, 25
V149 . . . 77, 1
V151 . . . 8, 9. 84, 5
V153. 158 . . 8, 3. 22, 22. 23, 27. 29, 19. 26. 48, 10. 52, 23. 66, 8. 86, 6
V159 . . . 47, 9
A 48 . . . 45, 25
Coll. Veron. 3. 4 . . . 86, 31

symbolum Nicaenum . . . 39, 1
can. apost. 74 . . . 4, 12
can. Antioch. 4 . . . 40, 28

epistula synodica de Nestorii electione et Cyrilli responsum . . . 80, 23
Candidiani relatio ad imperatorem . 9, 27. 11, 7
Acacii Beroeensis ep. ad imperatorem . 32, 3
Rufi Thessalonicensis ep. ad Iulianum Serdicensem . . . 40, 4

*ceteri indices in calce uoluminis proponentur*